Ad *ἀμολγαίη* spectat Procl. ad Hes. opp. 588. *Ἀμολγαίη, ἀντὶ τοῦ κρατίστη, ἀκμαία. Τὸ γὰρ ἀμολγὸν ἐπὶ τοῦ ἀκμαίου τίθεται. Ἐρατοσθένης δὲ ποιμενικήν* (Valck. *ποιμενικοῖς* libr.). Cf. Et. M. 573, 22. Miller, misc. p. 209. Athen. III 115a. Buttmann, lexil. II 44. Bernh. frag. XI. Schmidt, Did. p. 60.

10. **Er*. Hes. *Ἄμυστις. Τὴν ἀπνευστὶ καὶ ἀθρόαν πόσιν Τίμαρχός φησιν οὕτως λέγεσθαι.* Cf. ibid. s. v. *ἀμυστήν* et *ἀμυστία.*

Schol. Ach. 1229. *Ἄμυστιν· τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. Ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους.*

Et. M. 87, 21. Poll. VI 97. schol. Rhes. 419. Suid. s. v. Athen. XI 783 d. e. cf. de Timarcho p. 20.

11. Er. Poll. X 60.
— εἰ δὲ καὶ τὸ *ἀναλογεῖον* ἐθέλοις προσονομάζειν, οὕτω μὲν ἐπὶ τοῦ τοῖς βιβλίοις ὑποκεισομένου παρ' οὐδενὶ τῶν κεκριμένων εὗρον — παρὰ μέντοι Ἐρατοσθένει ἐν τοῖς περὶ κωμῳδίας, ὡς ἔχοιμέν τινα τοῦ ὀνόματος τοῦδε ἀποστροφήν, εὕροις ἂν τοὔνομα ἐπὶ τοῦ σκεύους τοῦ τοῖς βιβλίοις χρησίμου.
Suid. ἀναλογεῖον· ἐν ᾧ τίθενται τὰ βιβλία.
Hes. ἀναγνωστήριον· ἀναλογεῖον (ἀναλόγιον cod.). Bernh. frag. III.

12. L. Porphyr. ap. Euseb. praep. ev. 467 a. b. Ὁ δὲ *Ἀντίμαχος* τὰ Ὁμήρου κλέπτων παραδιορθοῖ. Ὁμήρου γὰρ εἰπόντος (I 558) ‖ Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν ‖ Ἀντίμαχος λέγει ‖ Ἴδεώ θ', ὃς κάρτιστος ἐπιχθονίων ἦν ἀνδρῶν ‖. Καὶ *Λυκόφρων* ἐπαινεῖ τὴν μετάθεσιν ὡς δι' αὐτῆς ἐστηριγμένου τοῦ στίχου.

13. L. Athen. XIII 555 a. *Ἀντιφάνης* ὁ κωμῳδιοποιός, ἑταῖρε Τιμόκρατες, ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος, δεῖ γάρ, ἔφησεν, ὦ βασιλεῦ, τὸν ταῦτ' ἀποδεξόμενον ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς, ὥς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς περὶ κωμῳδίας.

*14. *L.* Schol. Av. 1546 (Suid.) *Ἀπανθρακίζομεν*· ἀντὶ τοῦ ἄνθρακας ἐσθίομεν. Ἔστι δὲ εἶδος ἰχθύος λεκτόν, ὅπερ ὀπτῶντες (Suid. ὃ παροπτ. cod.) ἐσθίουσιν. Nisi corrigendum est *ἀνθρακίδας* pro *ἄνθρακας*, interpres ex significatione uerbi *ἀπανθρακίζομεν*, quod sciebat esse pisces assare, conclusit *ἄνθρακας* esse pisces. Quam temeritatem Lycophroni uindicandam esse arbitror[9]).

*15. *Er.* Schol. Ran. 362. Ἢ προδίδωσι φρούριον. Πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας· τὰ γὰρ ἀπόρ-

---

[9]) Glossam *ἀποκήρυκτος* B. An. 215, 19. Bernh. frag. L ab Eratosthene alienam esse docuit Boysenus Herm. XVIII 312 cf. Poll. IV 93.

ρητα ἤκουσαν (Dind. ἤκουσιν libr.) ὡς νῦν ἡμῖν (νῦν ἐκ (leg. ἐπὶ) τῶν μυστηρίων Θ) ἔθος. — Ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι. Ἐν γοῦν τούτοις ἐπιφέρει ἀσκώματα καὶ λίνα καὶ πίτταν. —

Schol. Thesm. 363 (Suid.). Δηλοῖ ἐνταῦθα, ὅτι λέγουσι καὶ ὁμοίως ἡμῖν τὰ ἀπόρρητα, οὐ μόνον (ἐπὶ τῶν add. Dind.) ἀπηγορευμένων (τὰ ἀπηγορευμένα Suid.).

B. An. 434, 5 (Suid.). Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν. Ἀριστοφάνης· || οὕτως τι τ' ἀπόρρητα δρᾶν ἐτημέλει (Bergk, ἐστι μέλει libr.) || διόπερ καὶ τὰ μὴ ἐξαγώγιμα (ἀπόρρητα) ὀνομάζουσιν. Cf. ibid. 219, 1. Frag. com. II 1191.

Refragatur schol. Eq. 648 cf. schol. Eq. 282. De Pherecrate cf. p. 16. Hist. crit. 70. Frag. com. II 321.

16. Er. Eust. 302, 27. Ἰστέον δὲ ὅτι ἐν τοῖς Παυσανίου φέρεται, ὅτι τε Ἀρκὰς κυνῆ ἐλέγετό τις ἤτοι Ἀρκαδικὸς πῖλος διὰ τὸ ἔχειν ὡς εἰκός τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκὰς καὶ ὅτι Ἐρατοσθένης παρὰ Ἀρκάσι φησὶ φελλὸν μέσον τι πρίνου καὶ δρυός, ὃ ἐνίους θηλύπρινον καλεῖν, καὶ ὅτι παροιμία ἦν τὸ Ἀρκάδας μιμούμενος ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων κ. τ. λ. Cf. Theophr. H. Pl. III 16, 3. Ὃ δὲ καλοῦσιν οἱ Ἀρκάδες φελλόδρυν, τοιάνδε ἔχει τὴν φύσιν· ὡς μὲν ἁπλῶς εἰπεῖν ἀνὰ μέσον πρίνου καὶ δρυός ἐστιν· καὶ ἔνιοί γε ὑπολαμβάνουσιν εἶναι θῆλυν πρῖνον. Bernh. p. 83. Berger, Erat. frag. geogr. 353. Apparet adagium fuisse Ἀρκὰς φελλός, quod a poetis usurpatum esse ostendit Pausan. VIII 12, 1. Poterat igitur a comico quodam parodice adhibitum esse. Accedit quod praeter B. An. 1393 Eratosthenis geographica a grammaticis non adhibita esse uidentur cf. Bergeri indicem. Refero igitur ad opus π. κ.

17. Er. Schol. Apoll. Rh. Γ 232.

Δύο ἀρότρων εἰσὶν εἴδη, τὸ μὲν πηκτόν, τὸ δὲ αὐτόγυον. Πηκτὸν μὲν τὸ ἐκ συμβολῆς ἔχον

Poll. I 252.

Ἀρότρου μέρη· ἐχέτλη τὸ κατόπιν ξύλον ὀρθόν, οὗ ἔχεται ὁ ἀρότης· αὐτὸ δὲ τὸ

τὸ ἐλυμα. Ἔστι δὲ τὸ ἔλυμα ἐν ᾧ ἡ ὕνις ἐντίθεται. Τὸ δὲ ξύλον τὸ ἀπὸ τοῦ ἐλύματος τεῖνον ἐπὶ τοὺς βόας γύης καλεῖται, τὸ δὲ ἀπὸ τοῦ γύου ἱστοβοεύς. Τοῦ δὲ ζυγοῦ τὰ ἐπὶ τοὺς αὐχένας τῶν βοῶν ἐπιτιθέμενα οἱ μὲν ζεύγλας, οἱ δὲ μέσσαβα λέγουσι. Τὴν δὲ κατασκευὴν τῶν ἀρότρων Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ καταγράφει.

Paullo uberius Et. M. 173, 16.

κοῖλον αὐτοῦ, καθ' ὃ τὴν χεῖρα ἐναρμόζει, χειρολαβίς. Ὅπου δ' ἐμπέπηγεν ἡ ἐχέτλη, ἀλύη, ᾧ δὲ ὁ ζυγὸς ἐνήρμοσται, ἔλυμα. Τὸ δὲ ἀροῦν σιδήριον ὕνις, ἧς τὸ ἄκρον νύμφη. Ὁ δὲ ῥυμὸς ἥρμοσται ἐκ τῶνδε. Τὸ μὲν ἐπικαμπὲς αὐτοῦ, ᾧ ὑποτείνεται τὸ ἔλυμα γεγομφωμένον, γύης, τὸ δὲ μετὰ τὸν γύην ἱστοβοεύς, τὸ δὲ τέλος αὐτοῦ τὸ μετὰ τὸν ζυγὸν κορώνη. Ὁ δὲ πλατὺς ἱμὰς ὁ τῷ ζυγῷ παρακαθαπτόμενος ἐχέβοιον ἢ μεσάβοιον καλεῖται. Καταλαμβάνουσι δ' αὐτόν, ὅταν περιελίξωσιν, εἰς τὸ τοῦ ζυγοῦ τρύπημα κερκίδα ξυλίνην ἐμβαλόντες, ἣ καλεῖται ἔνδρυον.

Cf. Hes. s. v. Πηκτόν. Πηκτὸν ἄροτρον. Αὐτόγυον. Γύης. Ἔλυμα. Ἐχέτλη. Ἱστοβοεύς. Ὑννή. Et. Gud. 130, 34. Bernh. frag. VIII.

18. Er. Schol. Pac. 70. (*Ἀνερριχᾶτο*). Πρὸς τὸ ὕψος ἀνέβαινε. Πρὸς δένδρα καὶ τοίχους ἢ σχοινίον ταῖς χερσὶ καὶ τοῖς ποσὶν (ἀναβαίνειν) ἀναρριχᾶσθαι λέγεται. Φησὶ δὲ Ἐρατοσθένης Κυρηναίους οὕτω λέγειν. Εἴρηται δὲ ἀπὸ τῶν ἀρρίχων· εἶδος γάρ ἐστι κοφίνων, οὓς εἰώθασι διὰ σχοινίων ἀνιμᾶν. Cf. Hes. s. v. Ἀρριχᾶσθαι. Ἀναρριχᾶσθαι. B. An. 19, 25. Et. M. 99, 14. Et. Gud. 52, 54 Suid. Totam hanc obseruationem Didymum, qui ex altero scholio agnoscitur Ἄλλως· τὸ ταῖς χερσὶ καὶ τοῖς ποσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν ἀναρριχᾶσθαι ἔλεγον (ἔλεγεν V). Ἑλλάνικος· „ἀναρριχῶνται δὲ ὥσπερ οἱ πίθηκοι ἐπ' ἄκρα τὰ δένδρα" Eratostheni debere putandum est. Ad eundem igitur refero, quae de uoce ἄρριχος enarrantur ap. Eust. 1533, 59. B. An. 446, 31. 208 25. Hes. s. v. Et. M. 149, 24. Et. Gud. 80, 30. Cf. Schmidt. Did. p. 66.

19. L. Athen. VII 278a Ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇ Γαστρολογίᾳ (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων ἐν τοῖς περὶ κωμῳδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου Ἀστρολογίαν) περὶ τῆς ἀμίας φησὶν κ.τ.λ. Cf. ibid. III 104b, IV 162b, X 457e. Dubii erant de huius carminis inscriptione cf. Athen. I 4, e.

*20. *Er.* Schol. Vesp. 855. Ἀρυστίχους· ἀρύστιχος καὶ ἄρυστις καὶ ἀρυστήρ. Ἀγγεῖόν ἐστιν ᾧ (οἷον V) ἔστιν ἀρύσασθαι, (οἷον addo) κοτύλη ἢ κύαθος. Εἶχον δέ φησιν αὐτοὺς (Ἄλλως. Ἐγὼ γὰρ εἶχον ἕως τοῦ ἀρυστίχου V.) πρὸς τὴν διαψήφισιν. Ἀρυστίχους δὲ οὓς ἐνίοτε κοτυλίσκους. Ἄλλως. Ἀρυστίχους τοὺς οἰνοχόους (leg. τὰς οἰνοχόας) εἴρηκεν ἀπὸ τοῦ ἀρύειν· ἔνθεν καὶ ἀρύταινα. Sequentia alium fontem redolent cf. Athen. X 424, c.

Hes. ἀρυστίχους· τὰς οἰνοχόας οἷον κοτύλας, ἀπὸ τοῦ ἀρύειν, ἔνθεν καὶ ἡ ἀρύταινα. (Τὰ δὲ αὐτὰ καὶ ἀρυστῆρας καὶ ἀρυστίχους ἐκάλουν ex glossa ἀρύστεις huc refero.) Ἔλεγον δὲ καὶ ἔφηβον τὸ τοιοῦτον σκεῦος. Poll. VI 19 (cf. X 75) ὅτῳ δὲ ὁ οἶνος ἀρύεται, ἀρυστήρ, ἀρύστιχος. Cf. B. An. 27, 30. 448, 29. Et. M. 151, 2. Suid. Eratosthenis onomasticum sapio.

21. Er. Schol. Vesp. 1191. Ἀσκώνδᾳ καλῶς. Τὸ χ, ὅτι περὶ τοῦ Ἐφουδίωνος (περὶ ἑτέρου δίωνος V) ἀληθῶς ἱστορεῖ. Ἄλλως. Ὅτι κατεψευσμένοι (Bernh. κατεψυγμένοι cod. κατεψυγμένως V) φαίνονται οὗτοι παγκρατιασταὶ ἐπὶ παιδιᾷ. Ὁ δὲ Ἀσκώνδας καὶ ἐξ αὐτοῦ τοῦ ὀνόματος. Εἰ μὴ ἄρα ὁ Ἐφουδίων ἐστὶ ὁ ἐν ταῖς ὀλυμπιάσι φερόμενος Ἐφουδίων Μαινάλιος οθ′.

Hes. Ἐφωδίων (-ιον cod.)· Ἐρατοσθένης διὰ τοῦ τ Ἐφωτίων (-ιον cod.) ἀναγράφει, Μαινάλιον περιοδονίκην (Soping. μέναλορ περιοδικὸν cod.) παγκρατιαστήν. Ὁ δὲ Πολέμων διὰ τοῦ δ.

Operi π. κ. tribuo, cum ficticium nomen Ascondae in Eratosthenis ὀλυμπιονίκαις exstitisse uix probabile sit. Cf. Bernh. frag. XXI, p. 252. Preller, Pol. p. 95. Schmidt, Did. p. 55.

22. Er. Schol. Plat. p. 371 Bekk. *Ἄττα· — ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν τῷ Χείρωνι Φερεκράτης || τοῖς δέκα ταλάντοις [ἄλλα] προστιθεὶς ἔφη* (*ἄλλ'* transposuit Runkenius) *ἄττα πεντήκοντα || οὐδὲν γὰρ σημαίνει ἐνταῦθα τὸ ἄττα. — Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι· || πυθοῦ χελιδών, πηνίκ' ἄττα φαίνεται || καὶ πάλιν || ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.* Frag. com. II 1181, V 14.

Et. M. 167, 46 *ἄττα· — ὁ κωμικὸς δὲ χρονικὸν αὐτὸ παραλαμβάνει || πύθου χελιδών πηνίκ' ἄττα γίνεται ||· λέγει ὁπότε χελιδὼν γίνεται.*

Schol. Av. 1514. *Πηνίκ' ἄττ' ἀπώλετο. Οὐκ Ἀττικὸν τὸ πηνίκ' ἄττ' ἀπώλετο οὐδὲ ἀρχαικὸν οὐδὲ ἀκριβές. Ἔστι δὲ ἀντὶ τοῦ πότε δῆτα κ. τ. λ.* Cf. Eust. 148, 45. B. An. 461, 4. Hes. Suid. s. v. *ἄττα.* Harp. 39, 17. Bernh. frag. XXVII. Schmidt, Did. 60.

*23. *Eu.* Schol. Ran. 194. *Παρὰ τὸν Αὐαίνου λίθον. — Φασὶ δὲ Αὐαίνου λίθον τινὰ λέγεσθαι Ἀθήνησι, παρ' ὃν . . . . . οἰκείως ἀπὸ τοῦ αὐαίνου* (*ἀπὸ τοῦ ἀυτοῦ αἴνου* V) *παρήχθη, ἐπειδὴ οἱ πολὺν χρόνον περιμείναντές τινας* (*τινα ὡς* V) *εἰώθασι λέγειν, „αὖος* (*ἄγος* V) *γέγονα* (-*ας* V) *περιμένων". Ἔοικε δὲ θρυλούμενον τοῦτο ἤδη.* Sic fere Didymus (Ran. 186) Euphronii autoschediasmata restringit. Lacunam statui. Sensum altero scholio ostendi credo: *Ἄλλως. Τὸ μὲν φαινόμενον λίθος ἦν Αὐαίνου καλούμενος, τὸ δὲ ἀληθὲς οὕτως ἔχει· παρὰ τὸν λίθον αὐαίνου καὶ ξηραίνου.*

*24. *Er.* Schol. Vesp. 506. *Ζῆν βίον γενναῖον. Πρὸς τοὺς* (*τὸ* V. om. rel. *τὸν* Mein.) *τοὺς Ἀψευδεῖς ποιήσαντας, ὅτι* (Dind. *τὶ* libr.) *τὸν Μόρυχον τῶν πολιτικῶν πεποιήκασι* (Dind. *πεποίηκε* libr.) (*μετέχοντα* add. Dind.) *πραγμάτων, ἀγνοήσαντες* (V. -*τας* rel.) *ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται.* Frag. com. V 30. De eiusdem Teleclidis fabula quadam dubitatur apud Phryn. epit. 291. Frag. com. II 376.

25. L. Er. Athen. XI 501 d. *Κρατίνου δ' εἰπόντος ἐν Δραπετίσι· ‖ δέχεσθε φιάλας τάσδε βαλανειομφάλους ‖ Ἐρατοσθένης ἐν τῷ ἑνδεκάτῳ περὶ κωμῳδίας τὴν λέξιν ἀγνοεῖν φησι Λυκόφρονα· τῶν γὰρ φιαλῶν οἱ ὀμφαλοὶ καὶ τῶν βαλανείων οἱ θόλοι παρόμοιοι· εἰς δὲ τὸ εἶδος οὐκ ἀρρύθμως παίζονται. Ἀπίων δὲ καὶ Διόδωρός φησι· φιάλαι ποιαί, ὧν ὁ ὀμφαλὸς παραπλήσιος ἠθμῷ. Ὁ δὲ Μυρλεανὸς Ἀσκληπιάδης ἐν τοῖς περὶ Κρατίνου· βαλανειόμφαλοι λέγονται, ὅτι οἱ ὀμφαλοὶ αὐτῶν καὶ τῶν βαλανείων οἱ θόλοι ὅμοιοί εἰσιν. Καὶ Δίδυμος δὲ τὰ αὐτὰ εἰπὼν παρατίθεται (τὰ) Λυκόφρονος οὕτως ἔχοντα· ἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν ταῖς γυναικείαις πυέλοις, ὅθεν τοῖς σκαφίοις ἀρύουσιν. Τίμαρχος δ' ἐν τετάρτῳ περὶ τοῦ Ἐρατοσθένους Ἑρμοῦ· πεπαῖχθαί τις ἂν οἠθείη τὴν λέξιν, διότι τὰ πλεῖστα τῶν Ἀθήνησι βαλανείων κυκλοειδῆ ταῖς κατασκευαῖς ὄντα τοὺς ἐξαγωγοὺς ἔχει κατὰ μέσον, ἐφ' οὗ χαλκοῦς ὀμφαλὸς ἔπεστιν.*

Hes. *βαλανε(ι) ομφάλους· οὕτω Κρατῖνος ὠνόμασε* (*φιάλας* add. Schmidt.) *τὰς ἐχούσας ὀμφαλοὺς ἄνευ προσώπων, ὁποῖοι οἱ θόλοι ἐν τοῖς βαλανείοις. Οἱ δὲ* (vel *ἢ*) *ἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν τοῖς* (leg. *ταῖς*) *πυέλοις* (Mein. *ὁποίας οἱ θόλοι ἐπὶ τῶν ὀφθαλμῶν τῶν ἐν τοῖς πυέλοις ἐν τοῖς βαλανείοις* cod.). Cf. B. An. 225, 6. Suid. s. v. Poll. VI 98. Eust. 1261, 22 Athenaeum exscripsit. Frag. com. II 49 Bergk comm. p. 64. Schmidt. Did. 42. Bernh. frag. XXXVI.

26. L. Er. Athen. VI p. 139 c | 140 a. — *Πολέμων· πρὸς ὃν ἀντιλέγων Δίδυμος ὁ γραμματικός — διαρρήδην λέγων μάζας ἐν ταῖς κοπίσι παρατίθεσθαι — τοῦτο γὰρ αἱ βάρακες δηλοῦσιν, οὐχὶ τολύπας, ὥς φησι Λυκόφρων, ἢ τὰ προφυράματα τῶν μαζῶν, ὡς Ἐρατοσθένης κ. τ. λ.*

Hes. *βάρακες· τὰ προφυράματα τῆς μάζης. Ἀττικοὶ δὲ βήρηκας. Δηλοῖ δὲ καὶ τὴν τολύπην.*

Ibid. *τολύπη. Τὰ προφυράματα τῶν μαζῶν, ἃ καὶ βήρηκας καλοῦσιν.*

Cf. ibid. s. v. *βάρ[β]αξ*. Poll. VI 77. Et. M. 188, 39. Num Eust. 1414, 30 sua Athenaeo an Atticistis debeat dubitare

licet. Tryphonem Eratosthenis compilatorem fortasse Athen. III 114e indicat. Bernh. frag. XLVII. Schmidt, Did. 44. Ahrens, dial. II 138. Frag. com. II 887.

27. Eu. Schol. Av. 1536. *Καὶ τὴν Βασιλείαν σοι γυναῖκ' ἔχειν. — Εὐφρόνιος, ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὕτη* (*αὐτῇ* libr.) *οἰκονομεῖν, ἥν ἐστι* (Kaibel, *ἔχει* libr.) *καὶ παρὰ Βακχυλίδῃ ἡ Ἀθηνᾶ τῷ Τυδεῖ δώσουσα [τὴν ἀθανασίαν].*

Cf. Bergk poet. lyr. III⁴ 586. Non de suo habere uidetur Euphronios cf. Diodor. III 57. Ad eundem recedere uidetur schol. Av. 1714. *Διὸς βέλος. Τῆς Βασιλείας. Λαβὼν γὰρ τὸν* (leg. *τὴν*) *ταμίαν τοῦ κεραυνοῦ καὶ αὐτὸν* (leg. *αὐτὸς*) *ἄγει.* Dicit interpres Pisthetaerum cum Basileiam fulgur administrantem a Joue acceperit, ipsum fulgur habere.

28. Er. Hes. *Βασιλίδες.* *Ὑπόδημα γυναικεῖον* (potius *ἀνδρεῖον* cf. Schmidt, Did. p. 56 not. 2) *καὶ αὐλητικόν* (?), *ὡς Ἐρατοσθένης, ἀπὸ* (Mus. *ἐπὶ* cod.) *τοῦ βασιλέως κληθέν[τος].*

Poll. VII 85. *Ὑποδημάτων δὲ εἴδη βασιλίδες. Ἐφόρει δὲ αὐτὰς ὁ βασιλεὺς Ἀθήνησι.*

Ael. Dion. ap. Eust. 1425, 40. *Ἐλέγοντο δὲ καὶ ὑποδήματά τινα βασιλίδες.* Bernh. frag. V. Schmidt, Did. 55. Hermann, Antiq. II² 219 [10]).

*29. *L. *Er.* Hes. *Βρίκελοι· οἱ μὲν τοὺς ἱστόποδας ἀπὸ τοῦ βάρους καὶ τοῦ ξύλου. Οἱ δὲ βαρβάρους. Δίδυμος δὲ τὰ τραγικὰ* (*βαρβαρικὰ* coni. Schmidt) *προσωπεῖα παρὰ Κρατίνῳ, οἷον βροτῷ εἴκελοι* (Schmidt *ἐπὶ τοῦ* — *βροτοίκελοι* cod.), *ἐν Σεριφ(ί)οις.*

---

[10]) Hes. *Βίηφι. Δύναμις. Βία, ὡς Πολέμων ἐν Ἐρατοσθένους Ἐπιδημίᾳ* (Bernh. *ἀποδημίᾳ* cod.) Prellerum p. 94 uerum uidisse puto uerba *ὡς Πολέμων* e. c. t. ad aliam glossam referenda esse.

Schmidt, Did. p. 30 „sub *οἱ μὲν* fortasse Lycophro, sub *οἱ δὲ* Eratosthenes latet. Cyrenaei enim Hesychio teste *βρικὸν* uocitabant *βάρβαρον*.“ Cf. ibid. s. v. *βρύκος*. De Lycophrone ualde dubito. Cf. Et. M. 213, 39. Pausan. ap. Eust. 1395, 49. Frag. com. II 140.

*30. *L. *Er.* Hes. *Γήθυα. Ἀμπελόπρασα, οἱ δὲ γηθυλλίδας, οἱ δὲ μεγάλα κρόμμυα, ἄλλοι χλωρά.* Cf. Athen. IX 371 f. (Eust. 1155, 20) *τὸ γήθυον — οὗ μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. Ὅπερ ἐξηγούμενος δρᾶμα Δίδυμος ὅμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ᾽ αὐτὰ καὶ γηθυλλίδας* (*ἐπιθυλλίδας* cod. et Eust.) *λέγεσθαι.* Attuli, quia Schmidt p. 51 dicit: „sub *οἱ δὲ -οἱ δὲ* uide ne lateant Lycophro et Eratosthenes,“ ipse idoneam causam non uideo. Cf. Symmach. schol. Eq. 677. Vesp. 496. Frag. com. II 584.

31. Eu. Schol. Vesp. 1086 *Γλαῦξ. Τὸ γλαὺξ* (*γλαῦκα* V) *ὄνομα, φησὶν Εὐφρόνιος, οἱ* (*ὅτι* V) *Ἀττικοὶ μὲν περισπῶσιν, οἱ δὲ Δωριεῖς ὀξύνουσιν. Γλαῦκα δὲ τὴν Ἀθηνᾶν καλεῖ.* [*Ἄλλως.*] *Φασὶ* (*δὲ*) *κατὰ τὸ ἀληθὲς γλαῦκα διαπτᾶσθαι τὴν νίκην τοῖς Ἀθηναίοις ἀπαγγέλλουσαν.* Ultima fortasse Callistrati sunt. Eust. 1451, 64 (cf. 88, 4) — *οἱ παλαιοί. Παρ᾽ οἷς καὶ ἡ γλαῦξ περισπᾶται. Οἱ καὶ ὀξύνεσθαι μὲν λέγουσι τὸ γλαύξ, πλὴν Δωρικῶς.*

Ion. Alex. 7, 26 (Herod. I 397, 17) *Τὸ δὲ γλαὺξ καὶ αἴξ παρ᾽ ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ Ἀθηναίοις καὶ ταῦτά τινες περισπῶσιν.* Cf. Et. M. 36, 55.

32. Eu. Schol. Av. 358. *Γλαῦξ μὲν οὐ πρόσεισι νῷν. Οὐ διὰ τὴν χύτραν οὐ πρόσεισιν, ὡς Εὐφρόνιος. Τοῦτο γὰρ κοινῶς πάντα τὰ ὄρνεα φοβεῖ(ται). Ἀλλὰ διὰ τὸ Ἀττικὸν εἶναι τὸ ζῷον, Ἀττικοὶ δὲ καὶ αὐτοί.* Cf. schol. 357. *Λαμβάνειν τε τῶν χυτρῶν. Φοβεῖται γὰρ τὴν χύτραν τὰ ὄρνεα διὰ τὸ μέλαν αὐτῆς* (*μέλος αὐτῶν* cod.). Ad eundem fortasse pertinet schol. Av. 365.

33. **L.* Schol. Eq. 19 (Suid.). *Μὴ διασκανδικίσῃς.* — *Μὴ ἀποδειλιάσῃς, μὴ μεταμελήσῃς* (*ἀμελήσῃς* Suid.). Interpres dubius de natura uocabuli *διασκανδικίζειν* ex ipso loco significationem concludere conatus est. Cum autem praecederet vers. 18. *οὐκ ἔνι μοι τὸ θρέττε,* de timore aliquid proferri putauit et temere interpretatus est *ἀποδειλιᾶν, μεταμελεῖν.* A quo potius tale quid admissum esse putemus quam a Lycophrone?

34. **Er.* Schol. Nub. 72. *Διφθέραν ἐνημμένος. Ἀντὶ τοῦ ἐνδεδυμένος. Ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα.* — *Γούνναν Θ. γοῦνναν* Reg. Docet Libycum uocabulum ab Eratosthene allatum (frag. 125) frustulum Eratosthenis obseruationis exstare. Idem uocabulum in cod. *Θ.* ad Nub. 10 seruatum est. Hes. *Διφθέρα. Δέρμα, βύρσα.* ibid. *Μηλωτή. Διφθέρα.* Poll. IV 119 *Πήρα, βακτηρία, διφθέρα ἐπὶ τῶν ἀγροίκων.* Suid.

35. *Er.* Schol. Jl. K 364. *Ὅτι τὸ διώκετον σημαίνει διώκουσι ἢ διώκετε* (sc. *δυικῶς*), *οὐ τὸ διωκέτην, ὡς Ἐρατοσθένης.* Cf. schol. *Ω* 282. Et. M. 280, 28. *Διώκετον· ὅτι οἱ Ἀττικοὶ καὶ ἐν τοῖς τρίτοις προσώποις* (cod. M.) *τῶν δυικῶν τοῖς δευτέροις* (St. *τοῖς δυικοῖς* cod.) *χρῶνται, ὡς Ἀριστοφάνης* ‖ *Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες.* | *Ἐκμαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι.* ‖ *Τοιαῦτα καὶ παρὰ τῷ ποιητῇ* ‖ *Διώκετον ἐμμενὲς αἰεί.* ‖ Frag. com. II 1192.

Hes. *Διώκετον.* (*Διωκέτην* cod.). *Ἐδίωκον. Δυικῶς. Ἢ διώκουσι.* Cf. Fritzsch. Thesm. p. 531. Kühner, Gr. Gr. I § 213, 8. Stiehle, philol. suppl. II 456.

36. *L.* **Er.* Schol. Vesp. 103. *Ἀπὸ δορπηστοῦ. Λυκόφρων ἀπὸ ἀρίστου. Οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα.* Ex solo Vesparum loco male intellecto Lycophro interpretationem hausit. Athen. I 11, d (Eust. 1791, 41). *Φιλήμων δέ φησιν, ὅτι τροφαῖς τέτταρσιν ἐχρῶντο οἱ παλαιοί, ἀκρατίσματι, ἀρίστῳ, ἑσπερίσματι, δείπνῳ. Τὸν μὲν οὖν ἀκρατισμὸν διανηστισμὸν ἔλεγον, τὸ δ' ἄριστον δορπηστόν, τὸ δὲ δεῖπνον ἐπιδορπίδα.*

37. Er. Et. M. 286, 33. *Δράξων* (leg. *Δραξών*). *Ἡ λέξις Σικελική·* (Gaisf. *ἡ λεγομένη Σ.* libr.) *σημαίνει δὲ τοὺς κατ' ἀγορὰν τῶν ἀλφίτων ἢ [τοὺς] ἄλλων τινῶν δραττομένους καὶ ἁρπάζοντας. Οὕτως Ἐρατοσθένης .... καπηδάλους καλεῖ. Παρὰ οὖν τὸ δράττεσθαι.* Lobeck Aglaoph. II 1031 uult — *Ἐρατοσθένης. (Σώφρων δὲ) καψικιδάλους καλεῖ.*

Hes. *Δράξων* (leg. *δραξών*). *Ἐν Σικελίᾳ* (*ἦν* addo) *ἱερόν, εἰς ὃ οἱ γεωργοὶ εὐχὰς* (*οὐλὰς* uel *οὔλους* Schmidt. *ἀπαρχὰς* Bernh.) *ἔπεμπον .... ὅθεν καὶ δραξόνες* (*δράσοντες* cod.) *ἐκλήθησαν.*

Ibid. *Καψιπήδαλος. Ὁ μετὰ τῶν τὰ ἄλφιτα [καὶ]. μὴ διδόντων ἀλόμενος* (*διαδιδόντων ἀλώμενος* Lob. *μεταδιδόντων εἰλούμενος* Schmidt. An *ἄλφιτα .... καὶ μὴ διδόντων ἀλώμενος?*) Schmidtii coniecturae (Did. p. 58.) *Δράξ· ὠνὴ Σικ.* vel. *Δράξων· θυσία* vel *ἑορτὴ ἐπιτελουμένη Σικ.* a uero absunt, nam esse *δραξών* nomen agentis docet similitudo uocis *πραξών* cf. Herod. II 732, 1 (I 34, 9. Theogn. 38, 20) *πρηξών, πρηξόνος· οὕτως γὰρ τοὺς ἀγοραίους καλοῦσι Σικελοί.* Cf. Bernh. p. 165. Hiller p. 121.

38. Er. Hypoth. Pac. III. *Φέρεται* (*φαίνεται* V) *ἐν ταῖς διδασκαλίαις* (*καὶ ἑτέραν* add. Ald.) *δεδιδαχὼς Εἰρήνην ὁμοίως ὁ Ἀριστοφάνης. Ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως „ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ" καὶ σποράδην δέ* (*διά* V) *τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.* Cf. Bergk frag. com. II 1063. Kock frag. com. I 467. Bernh. frag. XXIII.

39. Er. Poll. I 145. *Τὸ δὲ κωλῦον ἐκπίπτειν τὸν τροχὸν ἐμπηγνύμενον τῷ ἄξονι παραξόνιον ἢ ὡς Γοργίας ἐπίβολος ἢ ὡς Ἐρατοσθένης ἔμβολος.* Manifestum est Pollucem in hac descriptione currus Eratostheni plura debere. Bernh. frag. I.

40. Eu. Schol. Plut. 904 (Suid.). *Σκήπτομαί γ', ὅταν τύχω. Εὐφρόνιός φησιν ὡς τῶν ἐμπόρων μὴ ἐξιόντων ἐπὶ*

τὰς στρατείας (εἰς τὰς στρατιάς R) διὰ τὸ εὐχρηστεῖν (Bernh. εὔχρηστον cod.) τὰ (τὸ V) πρὸς τροφὰς φέροντας, τοῦτο οὖν λέγει ὅτι, ὅταν γένηταί τις καιρὸς πολέμου, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ.

Schol. Eccl. 1027. Ἔμπορος. Προφασίσομαι εἶναι ἔμπορος, ὡς ἐπὶ κινδυνευόντων, ἐπειδὴ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι.

41. Eu. Et. M. 340, 3. Ἐνεργμός. Τὸ δ' αὐτὸ καὶ ἔνερξις. Κροῦμα κιθαριστικόν. Εὐφρόνιος δὲ τὸν ἐν μέσῃ (Et. Flor. p. 111) τῇ κιθάρᾳ πασσαλίσκον, δι' οὗ ἡ χορδὴ διήρτηται. Φρύνιχος Κόννῳ· || Τί δαί; τὸν ἐνεργμόν (Gaisf. κοινοτίδητον ἐνεργμόν libr.). || Frag. com. II 582. Quamquam locus obscurus est, tamen Euphronium falsum esse apparet, cum nomen deriuatum in — μος talem significationem habere non possit.

*42. *Er.* Schol. Av. 11 (Suid.). Ἐξηκεστίδης. Τοῦτον ὡς ξένον διαβάλλουσι καὶ πλάνον τὰς ὁδοὺς γινώσκειν. Οἱ γὰρ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. Τοῦτο δ' ἂν εἴη μεμνημένος καὶ ἐν τοῖς ἔπειτα διὰ τούτων || Εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης (v. 764)||. Ἔστι δὲ καὶ ἕτερος.... || Ἔχων λύραν ἔργον Εὐδόξου τιταίνει ψίθυρον εὐήθη νόμον. || Μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθήνησι Ἐρατοσθένους ἐπιδημίας (ἀποδημίας V) λέγων „ὁ δὲ Ἐξηκεστίδης κιθαρῳδὸς πυθιονίκης. Νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων (Valck. ἰκαρίων V. Καρίων Ald.) ἀγῶνα τὸν ἐν Λακεδαίμονι, καὶ Παναθήναια (Παναθήναις V) δίς. Cf. schol. 764. 1527. Priorem partem scholii facile Eratostheni tribuas. Hes. Ἐξηκεστίδης· μοχθηρὸς συκοφάντης. Polemonis sententiae favet Hes. s. Ἐξηκεστιδαλκίδαι. Preller p. 87. Bernh. p. 4.

43. L. Er. Schol. Vesp. 704. Λυκόφρων καὶ οἱ περὶ Ἐρατοσθένη τὸ ἐπαφιέναι τὰς κύνας ἐπισίζειν. Ἀπὸ τῆς ἐπιφθέγξεως οὖν (τὸ) ἐπισίζειν, καὶ τὸ ἐπιρρύξαι ἐφορμῆσαι ὁμοίως παρὰ τῆς φωνῆς (ἐφορμῆσαν ὁμοίως παρὰ τῇ φωνῇ V, simile G,

ὁμοίως τῇ φωνῇ rel.) Si Bernhardyo (frag. XVIII) concederem Lycophronis memoriam per solum Eratosthenem propagatam esse, potius lacunam post Λυκόφρων statuerem. Sed locus sanus est.

Cf. Hes. Ἐπισῖξαι· ἐφορμῆσαι. Ibidem s. v. Ἐπίσιγμα. Ἐπισίξας. Ἐπισίττειν. Ἐπιρύζειν. Poll. V 10. B. An. 252, 23. Et. M. 363, 54. Pierson ad Moer. 157. Nauck, Arist. Byz. 161. Schmidt, Did. 45.

44. *L. Schol. Thesm. 389 (Suid.) (Ἐπισμῇ). Μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, οἷον ἐπιτρίβει· σφοδρὰν γάρ τινα τρίψιν καὶ τὴν σμῆξιν εἶναι. Τάχα δὲ καὶ τὴν σμώδιγγα εἰρῆσθαι ἀπὸ τούτου. Διόδωρος (δ') οὐ μεταφορικήν, ἀλλ' ἐξ ἔθους γλωσσηματικήν, καὶ μὴ εἶναι ἐπιτρίβειν ἀλλὰ τύπτειν ἢ σκώπτειν (ὡς add. Schneid.) τὸ σμώχειν.

Hes. Ἐπισμῇ. Ἐπιτρίβει, ἐπὶ τοῦ σμήχειν ἢ τρίβειν ἢ πλύνειν· λοιδορεῖ, πλήττει. Σμῶξαι γὰρ τὸ πατάξαι· ἔνθεν σμῶδιξ αἱματόεσσα. Cf. eundem s. v. Σμήχει. Σμῶδιξ. Σμῶδιγξ. De Diodoro cf. p. 5.

45. *Eu. Schol. Ran. 92. (Suid.) Ἐπιφυλλίδες. — Τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. Καλλίστρατος δὲ τὰ αὐτὰ καθ' ἑαυτὰ μικρά.

Hes. Ἐπιφυλλίς. Βοτρύδιον μικρόν, ἐπὶ τέλει βλαστάνον.

Et. M. 367, 17. Ἐπιφυλλίδες. Τὰ πρὸς τοὺς βότρυας, οἱ καλούμενοι ἐπίτραγοι. Tretz. chil. IV 784. Callistratus Euphronii interpretationem correxisse uidetur.

46. Er. Phot. Εὐθὺς Λυκείου (Mein. εὐθὺ Λύκειον cod.). Τὸ εἰς Λύκειον· ὅθεν Ἐρατοσθένης καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς· καὶ Εὐριπίδης οὐκ ὀρθῶς || Τὴν εὐθὺς Ἄργους κἀπιδαυρίας ὁδόν (Hipp. 1197) ||. Cf. Ruhnken, Tim. 126. Valck. anim. Amm. 90. Bernh. frag. XL. Cobet, Mnem. XI 388. Mein. hist. crit. 69. Frag. com. II 306.

47. Er. Eust. 1579, 28. *Οἱ γὰρ παλαιοὶ Ἀττικοὶ κατὰ Αἴλιον Διονύσιον ἐξέτεινον τὰς τῶν τοιούτων ὀνομάτων ληγούσας. Διὸ καὶ παρόξυναν* Phot. *Εὐκλεία· καὶ τὰ ὅμοια· μακρὰ ἡ τελευταία καὶ παροξύνεται· ὥσπερ καὶ Ἐρατοσθένης ἐν ιβ περὶ (κωμῳδίας.) αὐτά. Ἡ ἀγνοία γάρ φησιν ἔλεγον καὶ ἡ εὐκλεία. Καὶ ἡ ἱερεία. Καὶ ἡ ἀναιδεία δέ φησιν καὶ ἡ προνοία. Ὧν πάντων ἐκτείνεται μὲν ἡ τελευταία, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται.* Choerobosc. (B. A. 1314) *Οἱ Ἀθηναῖοι ἐπὶ τῶν διὰ τοῦ εια προπαροξυτόνων μακρὸν ποιοῦσι τὸ ᾱ καὶ καταβιβάζουσι τὸν τόνον, καὶ φυλάττουσι τὴν ει δίφθογγον, οἷον ἀλήθεια κοινῶς καὶ ἀληθεία Ἀττικῶς, ἱέρεια κοινῶς καὶ ἱερεία Ἀττικῶς, εὔκλεια κοινῶς καὶ εὐκλεία Ἀττικῶς.*

Schol. Eur. Or. 30. *Ἐκτέταται τὸ ᾱ τοῦ εὐκλεία Ἀττικῶς.* Cf. Et. M. 462, 6. Obloquitur Herod. II 451. I 302, 11. 273, 25 al. Bernh. frag. XLIV. Schmidt. Did. 55.

48. Er. Cicero ad Att. VI 1, 18. Quis enim non dixit *Εὔπολιν τὸν τῆς ἀρχαίας* ab Alcibiade nauigante in Siciliam deiectum esse in mare? Redarguit Eratosthenes: affert enim quas ille post id tempus fabulas docuerit. Num idcirco Duris Samius homo in historia diligens, quod cum multis errauit, irridetur? Cf. hist. crit. 105. Autolycum alteram post Ol. XCII 1. doctam esse constat. Bernh. frag. XXXVIII.

*49. *Er.* Schol. Eq. 279 (Suid.) *Ζωμεύματα. — Τὰ λεγόμενα ὑποζώματα. Εἰσὶ δὲ ξύλα τῶν νεῶν. Ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων. Ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξάγειν ξύλα καὶ πίσσαν.*

Hes. *Ζωμεύματα· ὑποζώματα, σχοινία κατὰ μέσην τὴν ναῦν δεσμευόμενα.* Cf. frag. 15.

*50. *L.* Schol. Nub. 396. *Καὶ καταφρύγει. — Τὸ δὲ ζῶντάς τινες ἀντὶ τοῦ πλουσίους ἤκουσαν.* Om. V. R. Putat interpres *ζῶντας* et *ἡμᾶς* opposita esse. Strepsiades autem est

pauper agricola, igitur *ζῶντας* est *πλουσίους*. Quae ineptiae prorsus Lycophronem redolent.

51. **Eu.* Schol. Ran. 303. *Ἡγέλοχος.* — *Οἱ δὲ λέγοντες ποιήτριαν εἶναι τὸν Ἡγέλοχον Ἀθήνησι τούτῳ συνεχῶς χρωμένην τῷ ἔπει καὶ ἄλλα' ἄττα τῶν αὐτοσχεδίως συντιθέντων οὐκ ἀνεκτὰ τερατεύονται.* Cf. p. 11.

52. *Er.* Phot. (Suid. Et. M. 416, 31). *Ἦ δ' ὅς. Οἱ μὲν περὶ Ἐρατοσθένην ἀντὶ τοῦ ἔφη δὲ οὗτος* (Et. M. *ὅς* Phot. Suid.), *διὸ καὶ δασύνουσι τὴν ἐσχάτην· ἐντετάχθαι γὰρ ἄρθρον τὸ ὅς. Καὶ ἦ ἀντὶ τοῦ ἔφη. — Καὶ ἦν δ' ἐγὼ ἀντὶ τοῦ ἔφην δ' ἐγώ. Παρὸ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηνᾶς Γοναῖς ἠσὶν ἀντὶ τοῦ φησὶν* || *ὁ Ζεύς, δίδωμι Παλλάς, ἠσί, τοὔνομα* (Pors. *διδωνω πολλὰς φησι* cod.). || Sequitur Aristarchi explicatio. Schol. Vesp. 795. *Ἦ δ' ὅς λέγων· ἀντὶ τοῦ ἔφη, καὶ ἔστιν ἀπὸ τοῦ ἠμί. Κέχρηται δὲ αὐτῷ συνεχῶς ὁ Πλάτων ἐπὶ μέλλοντος μόνου, οἱ δὲ κωμικοὶ καὶ ἐπὶ τῶν ἄλλων χρόνων.* Quod neque lacuna obscuratum esse (Bernh. frag. XIX) neque corrigendum *ἐπὶ παρελθόντος* (Kock, frag. com. I p. 225) docet schol. Jl. A. 219 *ὁ δὲ Πλάτων μετ' αὐτὸ ἐπιφέρει τὸν λόγον.*

Rationem scribendi debebat exponere Eratosthenes, cum tunc temporis *ΗΔΟΣ* scriberetur cf. Hes. s. v. *Ηδος*. Probabile igitur est etiam reliquas huius uocis significationes ab eo exhibitas esse. Iam compares

Epim. Hom. 193, 28.	Herod. II 904.
Ἦδος. — *Ὁ Τρύφων ὁ γραμματικὸς* (*συναινεῖ* Velsen add.) *τοῖς δασύνουσι τὴν λέξιν ταύτην, διότι ἀπὸ τοῦ ἥδεσθαι, ὃ σημαίνει τὸ τέρπεσθαι, γέγονε· καὶ ὥσπερ ἀπὸ τοῦ ἕλκεσθαι ἐγένετο ἕλκος καὶ ἐφυλάχθη τὸ αὐτὸ πνεῦμα, οὕτως καὶ ἀπὸ τοῦ ἥδεσθαι* (*ἧδος*) *φυλάξει τὸ αὐτὸ πνεῦμα.* Velsen p. 7.	*Ἡρωδιανὸς ἐν τῷ αὐτοῦ Συμποσίῳ δασύνεσθαι τὸ ἧδος λέγει πρός τινων ὡς ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς. Ἐκρίναμεν δέ, φησί, μᾶλλον δὲ ψιλοῦσθαι αὐτό. Φέρεται δὲ καὶ κανὼν τοιοῦτος· τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦται τὸ κατ' ἀρχὰς φωνῆεν οἷον εὖχος, ἦδος.*

(quem canonem ab Aristarcho statutum esse docet Herod. I 541, 6). Suspicari licet Eratosthenem Tryphoni auctorem esse, quae sententia probabilior fit comparato Et. M. 626, 57 (Orion s. v. ὄξος. Zonaras.) *οἱ δὲ Κυρηναῖοι τὸ ὄξος ἧδος (ἥδος?) φασί.*

Eust. 1417, 21. — *Αἴλιος γοῦν Διονύσιος φησίν· ἧδος τὸ ὄξος, δασύνουσιν Ἀττικοὶ καὶ πάντα τὰ τοιαῦτα, οἷον καὶ τὸν ἡδυλισμόν.* Cf. Athen. II 67, c. Poll. VI 65. Haec si iure Eratostheni tribui, huc pertinet sequens glossa

53. Er. Hes. *Ἡδυντῆρες. Οἱ ἅλες. Ἐρατοσθένης.* Cf. Poll. VI 71.

Phot. *Ἡδυντῆρες. Ἅλες. Τινὲς δὲ λέγουσιν ἡδυντῆτες* (*ἡδυτῆρες* Nbr.).

Tryph. (Walz, rhet. Gr. VIII 756, 6) *Καὶ τοὺς ἅλας ἡδυντῆρας.* Cf. Bernh. p. 142. Schmidt, Did. p. 55. Hiller p. 120.

*54. *Er.* Hes. *Ἡδύσματα. Ἀρτύματα.*

Phot. (Suid.) *Ἡδύσματα. Ἀρτύματα* (*ἀρώματα* Nbr. *βρώματα* cod.) *ἢ εὐοσμία.*

Schol. Eq. 678. *Ἐδίδουν ἡδύσματα. Ἀρτύματα, φησὶν, αὐτοῖς ἐχαριζόμην. Οἰκείως δὲ ὡς μάγειρος ἐδίδου τὰ ἀρτύματα.*

Poll. VI 13. *Τὰ δὲ ἀρτύματα ἡδύσματα.* Cf. Erot. (Klein.) p. 111, 8. 74, 11. Phot. s. v. *ἡδύνθαι.*

55. *Er.* Phot. *Ἤϊα. Τὴν τῶν ὀσπρίων καλάμην. Οὕτως Ἐρατοσθένης. Ὁ δὲ ποιητὴς ἁπλῶς εἴρηκε* (*ἔοικε* cod.) *βρώματα || Θώων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται. || Καὶ τὸν εἰς τὰς ναῦς ἐπισιτισμὸν ὁμοίως.*

Eust. 1445, 40. — *Οἱ δὲ παλαιοί φασι καὶ τοιαῦτα. Ἤϊα κυρίως κατὰ Ἐρατοσθένην ὀσπρίων καλάμαι. Καὶ δισυλλάβως ἐν συναιρέσει ἦα ὡς καὶ Φερεκράτης || Τὴν γαστέρ' ἤων καὶ ἀχύρων σεσαγμένος. || Ὅμηρος δὲ τὰ ἁπλῶς βρώματα ἤϊα λέγει. Δηλοῖ δὲ καὶ τὸν εἰς ναῦς ἐπισιτισμόν.* Schol. Hom. *β* 289.

Deest Eratosthenes apud Hesychium. Bernh. frag. XLIX. Frag. com. II 344.

56. **Eu.* Schol. Vesp. 544. *Θαλλοφόροι.* *Ἐν τοῖς ὑπομνήμασιν οὕτω γέγραπται. Θαλλοφόροι, ἀντὶ τοῦ ἐργάται·* || *Θαλλόν τ' ἐρίφοισι φορῆναι* (Odyss. ρ 224.) ||. — *Εὐχερεῖς δέ εἰσι περὶ ὧν μηδὲν ἔσχον εἰπεῖν σαφὲς αὐτοσχεδιάζοντες. Θαλλοφόρους γὰρ ἔφη βουλόμενος τοὺς γέροντας δηλῶσαι, ἐπειδὴ ἐν τοῖς Παναθηναίοις οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον. Ὡς οὖν εἰς οὐδὲν ὄντων χρησίμων αὐτῶν ἔξω τοῦ θαλλοφορεῖν οὕτως αὐτοὺς ἐπέσκωψεν. κ. τ. λ.* Cf. p. 10. 11.

57. *Eu.* Schol. Vesp. 696. *Τὸν θῖνα ταράττεις.* *Ἐκ βυθοῦ με κινεῖς. Ἀντὶ τοῦ τὴν καρδίαν, (παρόσον καὶ ὁ θὶς ἐν βάθει τοῦ πελάγους κεῖται καὶ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ). Εὐφρόνιος δὲ καὶ σεσημειῶσθαί φησιν, ὅτι τὸν θῖνα ἀρσενικῶς ὡς καὶ Ὅμηρος εἴρηκεν.* Eodem modo Blauius p. 75 uerba transposuit.

Schol. Jl. A 34. *Τὸ δὲ θῖνα νῦν μὲν θηλυκῶς εἴρηται, ἔστι δὲ καὶ ἀρσενικόν, ὡς τὸ ἐκβάντες ἐπὶ θῖνα βαθύν.* Cf. schol. Ψ 693.

Eust. 1390, 50. *Αἴλιος δὲ Διονύσιος παρασημειούμενός τινα ὅπως κατὰ γένη προφέρονται, φησὶν οὕτω· — ἀρσενικῶς δὲ ὁ χοῦς, ὁ ὄροφος, ὁ θίς. — Δῆλον δὲ ὅτι Ἀττικῶς ταῦτα πάντα, ἐπεὶ καὶ Ἀττικαῖς λέξεσιν ὁ ῥηθεὶς Διονύσιος ἐπεξέρχεται.* Cf. Hes. s. v. *θίν.* Et. M. 450, 34. Arcad. p. 125, 1.

58. **Er.* Schol. Plut. 290 (Suid.). — *Φιλόξενον τὸν διθυραμβοποιὸν ἢ τραγῳδοδιδάσκαλον διασύρει, ὃς ἔγραψε τὸν ἔρωτα τοῦ Κύκλωπος τὸν ἐπὶ τῇ Γαλατείᾳ. Εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι τοῦτό φησι τὸ ῥῆμα θρεττανελό· — ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ποιεῖ θρετταναλὸ θρεττανελό.* Comparanda est haec explicatio cum frag. 136. Auctori huius glossae debetur etiam schol. Plut. 298.

59. **Er.* Schol. Av. 556 (Suid.). *Ἱερὸν πόλεμον.* — *Ἐν ἐνίοις τῶν ὑπομνημάτων ταῦτα λέγεται· ἱερὸν πόλεμον*

λέγει, καθὸ πρὸς θεοὺς ἔσοιτο. Ἅμα δὲ τοῦ ἱεροῦ πολέμου μνημονεύει τοῦ γενομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ ἐν Δελφοῖς ἱεροῦ. Ἐσχεδίασται δὲ ὑπ' αὐτῶν. Οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπολέμησαν, ἀλλ' ὑπὲρ Φωκέων, διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος. Γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. Πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκέας ὑπὲρ Δελφῶν. Καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. Ὕστερον δὲ τρίτῳ ἔτει τοῦ πρώτου πολέμου Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων. Καὶ τὸ ἱερὸν ἀπέδωκαν Φωκεῦσι, καθάπερ καὶ Φιλόχορος ἐν τῇ δ' λέγει. Καλεῖται δὲ ἱερός, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. Ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης (I 112) *καὶ Ἐρατοσθένης ἐν τῷ θ' καὶ Θεόπομπος ἐν τῷ κέ.* Hes. s. v. *ἱερὸν πόλεμον* (Et. M. 469, 22) Philochori narrationem seruasse uidetur. Dubitare licet utrum glossa Eratosthenis chronographicis an operi *π. κ.* attribuenda sit. In interpretibus a Didymo castigatis uide ne Euphronius lateat. Bernh. frag. XXVI[11]).

60. Er. Schol. Apoll. Rhod. A 566. *Ἐπ' ἰκριόφιν. Τὸ ἴκριον τοῦ ἱστοῦ μέρος. Φησὶ δὲ Ἐρατοσθένης ἐν τῷ Ἀρχιτεκτονικῷ· ἱστός, πτέρνη, καρχήσιον, θωράκιον, ἠλακάτη, κεραία, ἴκριον .... τὰ δὲ ἄκρα ἀκροκέραια. Κάλωες δέ, δι' ὧν στέλλεται τὸ ἱστίον, διὰ κρίκων διειλημμένοι. Τούτων δὲ οἱ κάλοι οἷς κατάγεται τὸ ἱστίον μέσουροι λέγονται, οἱ δὲ ἑλκόμενοι εἰς πρῶραν ἐξ ἑκατέρου μέρους τοῦ ἱστοῦ*

Athen. XI 474 f. (*Καρχήσιον*). *Ἀσκληπιάδης δ' ὁ Μυρλεανὸς κεκλῆσθαί φησιν αὐτὸ ἀπό τινος τῶν ἐν τῇ νηὶ κατασκευασμάτων. Τοῦ γὰρ ἱστοῦ τὸ μὲν κατωτάτω πτέρνα καλεῖται, ᾗ ἐμπίπτει εἰς τὸν ληνόν, τὸ δ' οἷον εἰς μέσον τράχηλος, τὸ δὲ πρὸς τῷ τέλει καρχήσιον. Ἔχει δὲ τοῦτο κεραίας ἄνω συννευούσας ἐφ' ἑκάτερα τὰ μέρη, καὶ ἐπίκειται τὸ λεγόμενον αὐτῷ θωράκιον, τετράγωνον πάντῃ*

---

11) Glossam *ἴουλος* (Hes. Phot. schol. Apoll. Rh. B 43. A 972) nescio num Schmidt. Did. 66, Naber. proleg. 14 operi *π. κ.* deberi putent. Est ex Herma.

πρότονοι, οἱ δὲ κατὰ τὰς γωνίας πόδες. Ἑξῆς τούτων πρόποδες, μεθ᾽ οὓς εἰσιν οἱ τέρθριοι λεγόμενοι, εἶτα μέσοι. Ἠλακάτη δὲ τὸ ἀνώτατον τοῦ ἱστοῦ μέρος, ὥς φησιν Ἐρατοσθένης.

Cf. schol. Ap. Rh. A. 565. *πλὴν τῆς βάσεως καὶ τῆς κορυφῆς. Αὗται δὲ προὔχουσι μικρὸν ἐπ᾽ εὐθείας ἐξωτέρω. Ἐπεὶ δὲ τοῦ θωρακίου εἰς ὕψος ἀνήκουσα καὶ ὀξεῖα γιγνομένη ἐστὶν ἡ λεγομένη ἠλακάτη.*

Poll. I 91. *Καὶ τὸ μὲν ὑποδεχόμενον τὸν ἱστὸν ληνός. Τὸ δὲ ἐναρμοζόμενον αὐτῷ πτέρνα. Τὸ δὲ τελευταῖον τὸ πρὸς τῇ κεραίᾳ ἠλακάτη, καὶ θωράκιον, καὶ καρχήσιον. Τὸ δὲ ὑπὲρ τὴν κεραίαν ἄτρακτος, οὗ καὶ αὐτὸν τὸν ἐπισείοντα ἀπαρτῶσι.*

Phot. *Καρχήσιον. Τὸ ἄκρον τοῦ ἱστοῦ* cf. Bachm. An. I 268. Hes. *Καρχήσι(ον). Τὰ κέρατα τὰ ἐπάνω τῶν καταρτίων τῶν πλοίων. Καὶ τὰ ἄκρα τῶν ἱστῶν.*

Phot. *Ἱστὸς καὶ κεραία. Ὁ μὲν ἱστὸς τὸ ἐπίμηκες ξύλον ἄνω τεταμένον· κεραία δὲ τὰ πλάγια, ὥστε γενέσθαι γράμμα τὸ Ταῦ.* cf. B. An. 267, 5. Hes. *Κεραία. Ἐν τῷ πλοίῳ οὕτω τι καλεῖται.* Bernh. frag. VI. VII.

61. **L.* Schol. Lys. 564. *Ἰσχαδόπωλιν. Ἰσχὺν μὴ ἔχουσαν.* Interpres securus de loci sententia deriuauit ab *ἰσχύς* et *ἀπόλλυμι.*

62. **Er.* Schol. Pac. 930. *Ἰωνικόν. Οἱ γὰρ Ἴωνες δισυλλάβως λέγουσιν ὄϊς, οἱ δὲ Ἀττικοὶ μονοσυλλάβως καὶ τὰς οἷς καὶ πολλὰ τοῦ αὐτοῦ γένους.* (*Ἄλλως.*) *οἱ* (om. V) *Ἀττικοὶ συναιροῦντες τὸ[ν] ὄϊν οἶν. Οἱ γὰρ Ἴωνες πολλὰ διῃρημένως* (*-να* R) *φασίν.* Cf. frag. 55.

63. L. Er. Hes. *Κατειλυσπωμένην. Ὁ μὲν Λυκόφρων καταρτωμένην. Ἐρατοσθένης δὲ.... συγκεῖσθαι (δὲ)τὴν λέξιν ἐκ τοῦ εἰλεῖν καὶ σπᾶσθαι.*

Schol. Lys. 722. *Κατειλυσπωμένην. Εἰλυσπᾶσθαι κυρίως τὸ ἐπὶ γῆς ἕρπειν, ὥσπερ οἱ ὄφεις καὶ οἱ σκώληκες. Ἀπὸ τοῦ εἰλεῖσθαι καὶ σπᾶσθαι.*

Quomodo lacuna apud Hes. explenda sit docet schol. Lys. 722.

Et. M. 299, 54.	Eust. 1413, 34.
Εἰλυσπᾶσθαι, τὸ ὁμοίως τῷ ὄφει καὶ τῷ σκώληκι κινεῖσθαι· καὶ εἰλυσπώμενα τὰ παραπλησίως τοῖς ὄφεσι καὶ σκώληξι κινούμενα. Ἀπὸ τοῦ εἰλεῖσθαι καὶ σπᾶσθαι. Cf. Hes. s. v. *εἰλυσπᾶσθαι.*	*— καὶ τὸ ἰλυσπᾶσθαι, ὅ ἐστιν ὁμοίως ὄφει καὶ σκώληκι εἰλεῖσθαι καὶ σπᾶσθαι, ἤγουν κινεῖσθαι. Ὅθεν καὶ εἰλύσπωμα ἡ τοιαύτη κίνησις. — Αἴλιος δὲ Διονύσιος καὶ τοῦ ἰθύφαλλος τὴν ἀρχὴν διὰ διφθόγγου γράφει.*

Mira uox *εἰλύσπωμα* fortasse errore Aelii ex *εἰλυσπώμενα* (Et. M.) orta est. Bernh. frag. XXVIII. Schmidt, Did. 46.

64. Eu. Schol. Ran. 1093. *Κἀθ' οἱ Κεραμῆς. Οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. Δῆμος δὲ Ἀθηναίων. Ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. Καὶ ἐν Πλούτῳ πρώτῳ* || *Τῶν λαμπαδηφόρων τε πλεῖστον αἰτίαν τοῖς ὑστάτοις πλατειῶν* (*πλ. τ. ὑστ.* Dind.) frag. com. II 1130 ||. *Τοῦτο δέ φησιν Εὐφρόνιος, ὅτι ἀγομένου* (Kust. *ἀπὸ* cod.) *τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος* (*ἔθος ἦν* add. Kust.) [*καὶ* del. Kust.] *τοὺς ὑστάτους τρέχοντας* [*ἀπὸ* del. Kust.] *τῶν δρομέων* (Kust. *ἀγοραίων* cod.) *τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί. Καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί.* — Kusteri emendatio magis placet quam Fritzschii in editione, fort. autem scribendum (*ἔθος ἦν*) . . . *καὶ τούς.* Fragmentum ex priore Pluto post uocem *χερσί* inserendum esse arbitror. Redit Euphronii doctrina in schol. Ran. 1096. *Ταῖς πλατείαις. Ταῖς πλατείαις χερσί δηλονότι. Ἢ μάστιξιν. Ἢ οὕτω λεγομέναις Κεραμεικαῖς πληγαῖς πλατείαις.*

Cf. Hes. *Κεραμεικαί. Πλατεῖαι πληγαί. Ἀγὼν γὰρ Ἀθήνησιν εὐτελὴς ἐν τῷ Κεραμεικῷ, ἐν ᾧ τύπτουσι πλατείαις χερσὶ τοὺς μὴ τρέχοντας καὶ τοὺς ἄλλους ἀγωνιστὰς γέλωτος χάριν.* Phot. *Κεραμεικαί. Πλατεῖαι πληγαί. Τοὺς γὰρ ῥαθύμως τρέχοντας τύπτουσιν.*

Num quae alias de lampadedromia traduntur uelut schol.

Ran. 131, Vesp. 1203 ad Euphronium auctorem referenda sint dubitare licet.

65. *Eu.* Schol. Vesp. 674. — *Ἐκ κηθαρίου. Τὰ ἐκπέταλα τρύβλια, ἃ Εὐφρόνιος κήθια* (fort. *ἐκπ. τρυβλ., ὡς Εὐφ., τὰ κήθ.*). *Μικρὸν οὖν ῥοφοῦντα ἐκ τρυβλίου καὶ τρωγαλίζοντα, οἷον κυάμους καὶ ὅσα τοιαῦτα.* | *Οὐκ ἔστι δὲ* (*τρύβλιον*), *ἀλλ' ἀγγεῖον πλεκτόν, εἰς ὃ τὰς ψήφους καθιᾶσι, τὸ κήθιον, οἷον* [*ὡς*] *ἀπὸ τοῦ ψηφηφορεῖν* (*οὖν* V) *μόνον. Καὶ Χαῖρις δὲ τὸ κήθιον τρυβλίου τι εἶδος, καὶ τὸ λαγαρίζειν τὸ ἀποτρώγοντα θηλάζειν.* | *Μήποτε μέντοι καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντό τινι βάλλοντες ἐξ αὐτοῦ. Καὶ γὰρ Ἕρμιππος ἐν Θεοῖς* || *Καὶ πρὸς κύβους ἕστηκ' ἔχων* (*τὸ* add. Pors.) *κήθιον* ||, *τὸ δὲ λαγαρίζεσθαι ἕτερόν τι ἔοικεν ἐμφαίνειν. Φερεκράτης Μυρμηκανθρώποις.* Frag. com. II 313. 391.

66. *Er.* Schol. Eur. Troad. 1175. *Ὃν πόλλ' ἐκήπευσε. Κῆπος κουρᾶς εἶδος, ἣν οἱ κειρόμενοι διεβάλλοντο· κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς περὶ τὰ ἄκρα τρίχας. Οὐ κέχρηται οὖν μεταφοραῖς ὁ Εὐριπίδης, ἀλλὰ τὸ τῆς κουρᾶς εἶδος αἰνίττεται. Οὕτως ὁ Ἐρατοσθένης. Οὐ γὰρ ἀξιοῖ μεταφορὰν εἶναι. Λέγει οὖν, ὅντινα βόστρυχον κῆπον ἔκειρε. Τὴν τοιαύτην δὲ κουρὰν καλοῦσι κῆπον. Ἄλλως. Κατά τινας ἐπιμελείας ἠξίωσεν, ἐθεράπευσεν, ἵν' ᾖ μεταφορά. Ἔστι δὲ καὶ εἶδος κουρᾶς ὁ κῆπος, ᾧ οἱ χρώμενοι διεβάλλοντο· κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς τρίχας. Νῦν οὖν ὁ Εὐριπίδης τὸ εἶδος τῆς κουρᾶς* (*αἰνίττεται*), *ὡς καὶ Ἐρατοσθένης λέγει.*

Schol. Av. 806 (Suid.) *Ἀποτετιλμένῳ. Ἀντὶ τοῦ ἀποκεκαρμένῳ. Δύο δὲ εἴδη κουρᾶς, σκαφίον καὶ κῆπος. Τὸ μὲν οὖν σκαφίον τὸ ἐν χρῷ* (*τῷ ἐχθρῷ* V), *ὁ δὲ κῆπος τὸ προμετωπιδίῳ* (Bernh. *τῷ προμετώπῳ* V. Suid. *τὸ πρὸ μετώπου* rel.) *κεκοσμῆσθαι* (*κεκοσμημένος* V).

Phot. *Κῆπος. Κουρά τις ἐπὶ καλλωπισμῷ διαβαλλομένη.*

Hes. *Σκαφίον· — καὶ εἶδος κουρᾶς τῆς κεφαλῆς, ὃ κείρεσθαί φασι τὰς ἑταιρευ*[*ν*]*ούσας. Εἶναι δὲ περιτρόχαλον.*

Ibid. *Μιᾷ μαχαίρᾳ. Τὴν λεγομένην κῆπον κουρὰν μιᾷ μαχαίρᾳ ἐκείροντο.*

Schol. Ach. 849. — *Μιᾷ δὲ μαχαίρᾳ εἶπεν, ὃ καλοῦμεν ἡμεῖς ξυράφιον.* Cf. Phot. s. v. *Μίαν μάχαιραν. Σκαφίον.* Hes. s. *Κῆπος.* Horpocrat. p. 167, 16. Poll. II 29. 32. IX 13. Eust. 907, 40. 1292, 62. Unde orta sit haec significatio docet Et. M. 511, 6.

67. *Eu.* Tzetz. ad Lyc. 387. *Κηρύλον. Κηρύλος ὁ ἄρσην ἀλκυὼν παροξυτόνως διὰ τοῦ η καί ἐστι Δωρικόν. Κείρυλος δὲ διὰ διφθόγγου τοῦ ῑ (ει) προπαροξύτονον Ἀττικῶς, ὥς φησιν Εὐφρόνιος.*

Schol. Av. 299 (Suid.). *Ὅστις ἐστὶ κηρύλος* (leg. *κείρυλος*). *Εὐφρόνιός φησι τοὺς Δωριεῖς λέγειν (παροξυτόνως διὰ τοῦ η̄ κηρύλον ὡς παρ' Ἀλκμᾶνι* addo) ‖ *βάλε δὴ βάλε* (*βάλλε δὲ* V) *κηρύλος εἴην* ‖, *τοὺς δὲ Ἀττικοὺς (διὰ τοῦ διφθόγγου τοῦ ει προπαροξυτόνως* add.) *κείρυλον* (*κήρυλον* V). *Φησὶ δὲ Δίδυμος, τὸ κατὰ φύσιν ὄνομα κείρυλος* (*κήρυλος* V. legendum *κηρύλος* cf. Athen. IX 392 f. Oppian ixeut. II 7 Poet. bucol. didact. ed. Ameis I 118) *λέγεσθαι. Ἀντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων κηρύλους λέγεσθαι, οὓς καὶ γηράσκοντας αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς.* | *Μήποτε παρὰ τὸ κείρειν ἐσχημάτικεν κ. τ. λ.* Cf. Eust. 125, 43 schol. Plut. 589. Putat igitur Euphronius sicut *κῆνος* et *κεῖνος* etiam *κηρύλος* et *κείρυλος* diuersa esse; poetam non intellexit. Cf. Ahrens dial. II 162. Schmidt, Did. 252 Alcmanis fragmentum Euphronio abiudicans sententiam mihi non probauit. Cum enim Antigonus (Keller p. 8) quattuor uersus Alcmanis excitauerit, mirum sane esset, si ea tantum remansissent, quibus Euphronii sententia comprobatur. Accedit quod ex rei natura uerisimile est Euphronium aliquem poetam Doricum adiisse, unde sua sumeret. Fortasse huc facit Hes. *Κειρύλος. Τοῦτον ἔνιοι κήρουν* (leg. *κηρύλον*) *λέγουσι· ἔστι δὲ ὄρνεον. Ὁ δὲ Ἀντίγονος τῶν ἀλκυόνων τοὺς ἄρρενας κηρύλους φησί.*

68. Er. Et. M. 682, 52 (Herod. II 295.) *Ποῖ κῆχος· ζήτει καὶ (εἰς?) τοῦτο* || *Ποῖ κῆχος; εἰς τὸν οὐρανόν* || *καὶ Ἀριστοφάνης* || *Ποῖ κῆχος; εὐθὺ* (Valck. *εὐθὺς* cod.) *Σικελίας* || *καὶ παρὰ Φερεκράτει* || *Ποῖ κῆχος . . . . .* ||, *καὶ ἀεὶ* (Lentz, *εἰ* cod.) *μὲν παρεζευγμένον εὑρήσεις τὸ ποῖ τῷ κῆχος. Ἐρατοσθένης δὲ λαμβάνει ἐκ ταύτης τῆς συντάξεως· ποῦ ἐγγὺς καὶ εἰς τίνα τόπον; ποῦ ἄγχος, ποῦ κῆχος. Τὸ πῇ κῇ. Πῇ* (leg. *κῇ*) *ἐγγύς, πῇ* (leg. *κῇ*) *ἄγχος, ὅπερ ἐστὶν ἐν τῷ ἔναγχος, κῆγχος* (*κῆχος* cod.), *ἐλλείψει* (*ἔλλειψις* cod.) *ἄρα τοῦ γ̄ κῆχος. Ἄγχος ἔχει αὐτὸ ἐν τῷ ἔναγχος. Ἡρωδιανὸς περὶ παθῶν.*

Phot. *Ποῖ* (*κ*)*ῆχος. Ποῖ γῆς* (*ἐγγὺς* cod.), *εἰς τίνα τόπον. Ἐρατοσθένης δὲ τὸ ἐγγύς.* Cf. Hes. s. *Ποῖ κῆχος.*

Hes. *Ποῦ κῆχος.* (*Πῇ γῆς, εἰς τίνα τόπον* uidentur ad glossam *ποῖ κ.* pertinere) *καὶ ποῦ* (*τοῦ* cod.) *ἄγχι.*

Hes. *Κῆχος. Τόπος. Καὶ ποῖ κῆχος, ποῖ γῆς. Ἄλλοι κῆγχος.* Et. M. 512, 23. Cramer, A. Ox. I 344, 27. Bernhardyi (frag. XXXV) explicatio *κήναχος* (a *κῆνος*) *κῆγχος*, i. e. *κεῖθι*, sensu cassa est. Frag. com. II 350. Lobeck path. II 262. Schmidt. p. 59.

69. Eu. Phot. *Κιλλεία. Πρὸς τῷ Ὑμηττῷ δασύ. Οἱ δὲ κρήνην. Καλλίστρατος δὲ ἄγριον λάχανον τραχύ. Εὐφρόνιος δὲ τὰ ἀκανθώδη τῶν ἐχίνων* (*σελίνων* Nbr.)

Hes. *Κίλλεια. Εἶδός τι λαχάνου. Ἢ ἀκάνθαι τῶν ἐχίνων. Ἢ πηγή, ἢ κρήνη. Ἢ ὄρος τῆς Ἀττικῆς. Χωρίον δασύ, ὅπερ διαφόρως προσαγορεύουσιν, οἱ μὲν Κάλλιον, οἱ δὲ Κυλίαν, ἄλλοι Κύλλ*(*ο*)*υ πέραν.* Non concoquo. Uidentur a Diogeniano diuersa commixta esse. Cf. Phot. Hes. s. v. *Κύλλου πήραν*, Hes. s. *Καλιήν*; Theognost. 101, 17. Frag. com. II 79. 1058.

70. Er. Schol. Pac. 48. *Τὴν σπατίλην ἐσθίει. Ἀντὶ τοῦ ἤσθιεν· ἀποθανὼν γὰρ ἦν ὁ Κλέων. — Ἄλλως. — Πῶς δὲ ἤσθιεν ὁ Κλέων ἤδη τεθνηκώς; Ἐρατοσθένης γὰρ ἐπὶ Θρᾴκης τὸν θάνατον Βρασίδου καὶ Κλέωνος ὀκτὼ μησὶ προγεγονέναι φησί.*

Schol. Pac. 270 *Ὁ βυρσοπώλης. Τοῦτο αἰνίττεται πρὸς τὸν Κλέωνα καὶ ὅτι μετὰ τὴν Κλέωνος τελευτὴν εἰσῆκται τὸ δρᾶμα· ἤδη γὰρ τεθνήκει* (*τέθνηκεν* V).

Schol. Pac. 283. — *Καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας ἐπὶ Θρᾴκην κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ.* Cf. schol. Pac. 282. 284. Conuenit igitur Eratosthenes cum Androtione schol. Nub. 549. Ibi quod traditur Cleonem sub Ameinia archonte mortuum esse ex Eratosthenis temporum definitione ortum est. Retro enim numeratis octo mensibus ab ineunte Elaphebolione si quis neglegebat annum fuisse intercalarium, ad initium fere anni Attici deducebatur.

71. *Eu.* Schol. Av. 873. (Suid.). *Οὐκέτι Κολαινίς. Παρὰ τὴν τῆς φωνῆς* (*π. τῶν φωνῶν* V) *ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ Κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις* || *Τίς ἡ Κολαινὶς Ἄρτεμις; ἱερεὺς γὰρ ὢν τετύχηκα τῆς Κολαινίδος.* Frag. com. II 752. || *Φησὶ δὲ Ἑλλάνικος Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν ἱδρύσασθαι Κολαινίδος Ἀρτέμιδος. Καὶ Φανόδημος ἐν τῇ δʹ. Εὐφρόνιος δέ φησιν, ὅτι ἐν Ἀμαρύνθῳ* (*Ἀμαράνθῳ* V) *ἡ Κολαινὶς διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκεῖ κριὸν* (Dobr. *ἐκ τοῦ κηροῦ* cod.) *κόλον. Ἐπὶ ταύτης δὲ Καλλίμαχος* (frag. 76) *λέγει* || *Τὴν ὠγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο, τῇ καὶ λίπουρα καὶ μόνωπα θύεται.* || *Τοῦτο δὲ μήποτε ἐσχεδίασται.*

Cf. Theognis. 11 Pausan. I 31, 5. Bursian. geogr. gr. I 347, 1. Dondorf, D. Jonier auf Eub. p. 24, 8.

72. *Eu.* Schol. Vesp. 675. *Κόννου ψῆφον. Κόννος κιθαρῳδὸς ἦν ἐνεός* (Mein. *νέος* cod.). *Ἔστι δὲ παροιμία ἐπὶ τῶν μηδεν(ὸς) ἀξίων. Καλλίστρατος* (*δὲ παροιμίαν φησὶ* om. V) *Κόννου θρῖον, παρ' ἣν* (*οὗ* V) *παίζει. Εὐφρόνιος δὲ ὅτι ἐλέχθη διὰ τὸ ἠλίθιόν* (Mein. *ἡδύν* cod.) *τινα τὸν Κόννον εἶναι. Οἱ δὲ Κόννον λέγουσι* (*λέγεσθαι* V) *τὸν κιθαριστήν. Μήποτε δὲ οὐδὲ ὅλως ἐστὶ Κόννος, ἀλλὰ Κόννας, ὃν προενεγκτέον* (*οὐδὲ προσενεγκτέον ἀλλ' ἐπὶ βαρύ* V) *ὡς Μίδας. Κόννου ψῆφος οἷον τὸ μηδέν. Ἄλλως. Κόννος, εὐτελής. Κόννος γὰρ τὰ*

πατρῷα κατέφαγε καὶ πένης ἦν. Ψῆφον δὲ εἶπε διὰ τὸ περὶ δικαστοῦ λέγειν.

Suid. *Κόννου ψῆφον. Ἐπὶ τῶν οὐδενὸς ἀξίων. Ὁ δὲ Κόννος λυρῳδὸς ἦν, ὥς τινές φασιν, τῶν ἀφώνων. Ὡς δέ τινες κιθαρῳδός.*

Hes. *Κόννου ψῆφον. Παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων.* Cf. Mein. hist. crit. 202.

73. **L.* (**Eu.*) Schol. Nub. 23. (Suid.) *Τὸν κοππατίαν.* — *Τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα* (*κολάζοντα* V) *ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐ δεόντως* (Suid. *οὐδὲν ὄντως* cod.) *ὑποτιθέμενοι.* Hanc explicationem ad antiquum interpretem referendam esse et ipsa interpretandi ratio docere uidetur et aoristi forma *ἐξηγήσαντο.* Utrum Lycophroni an Euphronio tribuenda sit dubito.

74. L. Er. Schol. Vesp. 239. (Suid.) *Τοῦ κορκόρου. Πρὸς τὸν Λυκόφρονα, κόρκορον λέγοντα ἰχθύδιόν τι* (*ὡς τὸν ἵππουρον* add. Suid.). *Ἠπάτηται δέ, ὥς φησιν Ἐρατοσθένης. Ἔστι γὰρ λάχανόν τι ἄγριον καὶ εὐτελὲς ἐν Πελοποννήσῳ, ὡς καὶ ἡ παροιμία || Καὶ κόρκορος ἐν λαχάνοισι.* | Hes. *Κόρκορος. Εἶδος ἰχθύος. Ἢ λάχανον ἄγριον.* Cf. ibid. s. *Κόρχορον.* Theophr. H. Pl. VII 7, 2. Hephaest. ed. Gaisf.[2] p. 51, 5. Zenob. IV 57. Bernh. frag. XV. Schmidt, Did. 44.

75. Er. Pseudodidym. *περὶ τῶν ἀπορουμένων παρὰ Πλάτωνι λέξεων* (Miller Misc. p. 400) *Ἐπὶ κόρρης· Οἱ μὲν τὸ κατὰ κεφαλὴν τύπτεσθαι· τῶν γὰρ Ἰώνων, ὥς φησιν Ἐρατοσθένης, τὴν κεφαλὴν καλούντων κόρσην, οἱ Ἀθηναῖοι καθάπερ μυρρίνην τὴν μυρσίνην καὶ τὰ ὅμοια, κόρρην τὴν κεφαλὴν ὠνόμασαν, ὡς Πλάτων ἐν Γοργίᾳ* (486 C) *καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* (562, 9). *Οἱ δὲ τὸ ἐπὶ κόρρης ἐξηγοῦνται τὸ εἰς τοὺς γνάθους τύπτεσθαι, ὡς Ὑπερ(ε)ίδης ἐν τῷ κατὰ Δωροθέου — καὶ Φερεκράτης || Ὁ δ' Ἀχιλεὺς εὖ πως ἐπὶ κόρρης αὐτὸν | ἐπάταξεν, ὥστε πῦρ ἀπέλαμψεν ἐκ τῶν*

(*ἀπολάμψαι τῶν* Miller) *γνάθων*. || Deest Pherecratis fragmentum apud editores cf. Mein. IV 623.

Et. M. 529, 40 (Et. Gud. 303, 32). — *Καὶ κατὰ κόρρης λέγεται τὸ τὴν σιαγόνα πλῆξαι. Ὁ δὲ Ἐρατοσθένης ἅπασαν* (Sylb. *ἄπυσαν* cod.) *τὴν τῆς κεφαλῆς πληγήν. Κόρσην γὰρ τὴν κεφαλὴν λέγεσθαι φησί. Μεταβεβλῆσθαι δὲ τὸ σ̄ εἰς τὸ ρ̄ Ἀττικῶς, ὡς ἐπὶ τῆς μυρρίνης καὶ τοῦ ταρροῦ. Ἔστι γὰρ μυρσίνη καὶ ταρσός.* Cf. B. An. 255, 8. Et. M. 360, 34.

Eust. 947, 26. *Ἡ δὲ κόρση ὅτι καὶ κόρρη λέγεται ἱκανῶς ἔγνωσται ἀλλαχοῦ. Ἀφ' οὗ καὶ κατὰ κόρρης καὶ ἐπὶ κόρρης δὲ κατὰ Αἴλιον Διονύσιον πληγὴ* [*τυχὸν*] *ἢ ῥάπισμα λέγεται τὸ εἰς σιαγόνα καὶ κρόταφον* (*τυχόν*). *Κόρρην δέ φησι καὶ κόρσην Ἀττικοὶ τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι.* Cf. Eust. 701, 2. Suid. s. *Ἐπὶ κ.*

Eust. 492, 36. *Ἀπὸ δέ γε τῆς κόρσης γίνεται καὶ ἡ κόρρη τροπῇ τοῦ σ̄ εἰς ρ̄. Ὁμοίως τὸ πυρσὸς πυρρός, ταρσὸς ταρρός, καὶ τὸ κατὰ κόρρης δὲ τύψαι τινὰ τὸ κατὰ κόρσης ἤτοι κροτάφου ἐστί. Παρ' Ἀττικοῖς δὲ κόρρη ἡ γνάθος.*

Poll. II 40. *Τοὺς δὲ κροτάφους ἔνιοι καὶ κόρσας καλοῦσιν. Καὶ τοῦτο εἶναι τὸ ἐπὶ κόρρης παίειν.*

Cf. Hes. *Κατὰ κόρρης. Κόρση. Κόρσαι.* Herodian. I 340, 20. I 123, 8. II 378, 3. Bachm. Anecd. I 230, 15. Schol. Theocr. XIV 34. Schol. Dem. IX 573, 23 Dind.

76. **L.* Athen. XI 478 b. *Κότυλος.* -- *Διόδωρος δ' ἐν τῷ πρὸς Λυκόφρονα παρὰ Σικυωνίοις καὶ Ταραντίνοις ἐπιπολάζειν φησὶ τὸ ἔκπωμα, εἶναι δὲ αὐτὸ λουτηρίῳ ἐοικὸς βαθεῖ.*

Cf. ibid. 478, e. *Κοτύλη.* — *Διόδωρος δὲ τὸν παρά τισι κότυλον κοτύλην ὠνομακέναι τὸν ποιητὴν* || *Πύρνον καὶ κοτύλην* ῥ 12 ||, *ὃν κύλικα μὲν οὐκ εἶναι, οὐ γὰρ ἔχειν* (*δύο* addo) *ὦτα, παραπλήσιον δ' ὑπάρχειν λουτηρίῳ βαθεῖ, ποτηρίου δὲ εἶδος εἶναι. Δύνασθαι δὲ καὶ τὸν παρὰ τοῖς Αἰτωλοῖς καί τισι τῶν Ἰώνων λεγόμενον κότυλον, ὃν ὅμοιον ὄντα τῶν προειρημένων ἓν οὖς ἔχειν.* (Athenaeum compilauit Eust. 1282.)

Probabile igitur est Lycophronem explicasse *κότυλον εἶναι κύλικα*. Cf. Poll. VI 96. 99. de Diodoro cf. p. 5.

77. *Eu.* Schol. Av. 1403. *Τὸν κυκλιοδιδάσκαλον.* *Ἀντὶ τοῦ διθυραμβοποιόν. Εἴρηται γὰρ ὅτι ἐγκύκλια διδάσκουσιν* (schol. Nub. 333). *Ἀντίπατρος δὲ καὶ* (*αντὶ πατρὸς ὡς* V) *Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασί φασι τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λᾶσον* (*λέγον* V *λαγὸν* Ald.) *τὸν Ἑρμιονέα, οἱ δὲ ἀρχαιότεροι Ἑλλάνικος καὶ Δικαίαρχος Ἀρίονα τὸν Μηθυμναῖον, Δικαίαρχος* (*Δήμαρχος* V Ald.) *μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων, Ἑλλάνικος δὲ ἐν τοῖς Καρνεονίκαις* (Müller. *Καρναϊκοῖς* V, *Κραναϊκοῖς* rel.).

Suid. *Κυκλιοδιδάσκαλος. Πρῶτος Λάσος ὁ Ἑρμιονεὺς τοὺς κυκλίους χοροὺς ἔστησε.*

Clem. Al. Stromat. I 365 *P. Μέλος τε αὖ πρῶτος περιέθηκε τοῖς ποιήμασι καὶ τοὺς Λακεδαιμονίων νόμους ἐμελεποίησε Τέρπανδρος ὁ Ἀντισσαῖος, διθύραμβον δὲ ἐπενόησεν Λάσσος Ἑρμιονεύς, ὕμνον Στησίχορος Ἱμεραῖος.*

78. *Eu.* Schol. Av. 1379. (Suid.) *Τί δεῦρο πόδα σὺ κυλλόν.* — *Καὶ Εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν Κινησίαν φησίν. Ἢ τάχα* (*παχὺν* V), *ἐπεὶ πολλάκις ἐστὶ παρ' αὐτοῖς ποδὶ κούφῳ ἢ ποδὶ λευκῷ ἢ πόδα τιθείς, ἤ τι τοιοῦτον, τὸ κυλλὸν* (*τὸν κυλλὸν* V) *προσέθηκεν. Ἄλλως. Δίδυμος μὲν κύκλον, ἐπεὶ κυκλίων ᾀσμάτων ποιητής ἐστι, κυλλὸν δέ, ἐπεὶ χωλός ἐστι. Εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις* (1437). *Ὁ δὲ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶ γεγονέναι.* | *Σύμμαχος οὕτως· Εὐφρόνιος, ἐπειδὴ χωλὸς* (sic Ald.) *ἦν ὁ Κινησίας. Τοῦτο δὲ οὐκ ἔστιν εὑρεῖν. Ἀλλ' ἐπειδὴ πολὺ* (om. V) *παρ' αὐτοῖς ἐστι τὸ ποδὶ λευκῷ καὶ ποδὶ κούφῳ καὶ πόδα τιθεὶς ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν.* Cf. frag. 141.

79. *Er.* Schol. Vesp. 1032. *Κύννης. Κύννα* (om. V) *πόρνη.* || *Μετὰ Κύνναν καὶ* (*Σαλαβακχῷ* om. V).|| *Ἐρατοσ-*

Schol. Pac. 755. *Οὗ δεινόταται. Ἐρατοσθένης ἀγνοήσας τὰ κατὰ τὴν Κύνναν κυνὸς γράφει* || *Κυνὸς ὡς ἀκτῖνες*

θένην (*Ἐρατοσθένης* V. R.) *δὲ ἀγνοήσαντα* (*ἠγνόησεν* R.) *τὴν Κύνναν* (*Κύνα* V) *ὅτι πόρνη, οἱ μέν τινες προφέρεσθαί φασι κυνὸς ὡς ἐπ' ἀναιδοῦς* (Valck. *Ἐπιμενίδης* cod.), *οἱ δὲ πυρός· οὐκ εὖ. Θέλων οὖν παραβαλεῖν τὸν Κλέωνα κυνὶ* (*Τῇ δὲ κυνῇ παρέβαλε τὸν* V) *διὰ τὸ ἀναιδὲς ἑτέρως ἐσχημάτισεν. ἔλαμπον[το]* ||. *Κύννα δὲ καὶ Σαλαβακχὼ πόρναι Ἀθήνησι. Ἄλλως. Τὴν ἀναίδειαν αὐτοῦ καὶ τὴν τραχύτητα τῶν τρόπων δείκνυσι διὰ τῶν ὄψεων, ὡς καὶ Ὅμηρος* (A 104) || *Ὄσσε δέ* (*οἱ* om. V) *πυρὶ λαμπετόωντι* (*ἐΐκτην* om. V) ||. *Τῆς δὲ Κύννης μέμνηται καὶ ἐν τοῖς Ἱππεῦσι λέγων* || *Καὶ Κύνναν καὶ Σαλαβακχώ* ||. Merito Bernh. (frag. XX) Eratosthenem defendit. Exposuit Eratosthenes pro exspectato *πυρὸς* (Ilias A 104) positum esse *Κύννης*, hoc autem uerbo ad *κυνὸς* alludi, quo significetur impudentia Cleonis. Fort. ad eundem pertinet schol. Eq. 416.

80. Er. Et. M. 547, 50. *Κύρβεις.* — *Ἐρατοσθένης* (*δὲ*) *τριγώνους αὐτὰς φησὶν εἶναι, οὐ τετραγώνους. Ἀριστοφάνης δὲ ὁμοίας εἶναι τοῖς ἄξοσι, πλὴν ὅτι οἱ μὲν ἄξονες νόμους, αἱ δὲ κύρβεις οὐσίας ἔχουσιν.*

Phot. *Κύρβεις. Τρίγωνοι ἄξονες ἢ πίνακες ἔχοντες τοὺς πολιτικοὺς νόμους καὶ τὰς δημοσίας ἀναγραφάς.*

Schol. Apoll. Rhod. Δ 280. *Κύρβιας. Κύρβεις λέγουσιν, ὡς Ἐρατοσθένης, τοὺς ἄξονας καλουμένους Ἀθήνησιν ἐν οἷς οἱ νόμοι περιέχονται.*

Hes. *Κύρβις. Στήλη τρίγωνος, ἢ ξύλινος ἄξων, ἐν ᾧ τὸ παλαιὸν οἱ νόμοι ἐγράφοντο.*

Harpocr. p. 24, 5 (Bekk.). *Οἱ Σόλωνος νόμοι ἐν ξυλίνοις ἦσαν ἄξοσι γεγραμμένοι· — ἦσαν δέ, ὥς φησι Πολέμων ἐν τοῖς πρὸς Ἐρατοσθένην τετράγωνοι τὸ σχῆμα, διασώζονται δὲ ἐν τῷ Πρυτανείῳ γεγραμμένοι κατὰ πάντα τὰ μέρη. Ποιοῦσι δὲ ἐνίοτε φαντασίαν τρίγωνον, ὅταν ἐπὶ τὸ στενὸν κλιθῶσι τῆς γωνίας.*

Cf. Poll. VIII 128. B. An. 274, 24. Schol. Plat. p. 373. Bekk. Cram. An. Ox. I 221. II 455. Timaeum p. 91 (Ruhnk). Tretz. chil. XII 349. Ammon. p. 18. Zonar. Schol. Av. 1354.

Nub. 448 Suid. Bernb. frag. XII. Mein. Anal. Al. 42. Wachsmuth, Stdt. Athen. I 535, 1. Nauck, Arist. Byz. 219. Preller. Pol. 87 seq. Schmidt, Did. 59.

81. L. Er. Schol. Pac. 199. (Suid.) *Κύτταρον.* — *Λυκόφρονά φησιν Ἐρατοσθένης τὸ(ν) κύτταρον λέγειν, ἐν ᾧ αἱ φηγοὶ ἐγκάθηνται. Οὐκ ὀρθῶς. Κυττάρους γὰρ καλοῦσι τὰς τῶν κηρίων καὶ σφηκίων* (sic V) *κατατρήσεις, ὡς καὶ ἐν τοῖς Σφηξὶν* (1111) *εἴρηκεν* ‖ *Ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.* ‖ *Θεόφραστος δὲ* (H. Pl. III 3, 8) *κυρίως λέγει προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος, ἥτις ἐστὶν ὥσπερ στάχυς μικρὸς ἐκ μεγάλων πυρήνων* (Phot. *πυρῶν* libr.), *ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. Οἷον* (Suid.) *οὖν ἀγγειῶδες. Κ. τ. λ.*

Phot. *Κύτταρος. Οἱ μὲν ἀπέδωκαν, ἐν ᾧ αἱ φηγοὶ* (Nbr. *σφηκιαὶ* cod.) *ἐγκάθηνται. Μάχεται δ' αὐτοῖς τὸ τοῦ Ἀριστοφάνους ἐν Σφηξὶν* (1111) ‖ *Ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.* ‖ *Ἔοικεν δὲ ἐπὶ τῶν ἀγγειώδων τίθεσθαι. Τοῦτο δὲ καὶ Ἀριστοτέλης ἀποδέδωκε. Θεόφραστος δὲ προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύτταρον προσαγορεύει· τοῦτο δέ ἐστιν ὥσπερ ὁ στάχυς μικρὸς ἐκ μεγάλων πυρήνων. Ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει.*

Schol. Thesm. 516. (*Κύτταρον*). *Θεόφραστος .... απινων φησὶ τῆς πίτυος καὶ τῆς πεύκης. Ἐρατοσθένης* (*δὲ*) *ἀγγεῖον τοῦ σφηκὸς ἢ τῆς μελίσσης, ὅπου οἱ σκώληκες ἔνεισι* (*ἔπεισι* libr.) — *Ἄλλως. Κύτταρος καλεῖται τὰ κοιλώματα τῶν μελικήρων* (Schneid. *μελικηρίδων* cod.). *Ὁμοίως δὲ καὶ τὸ πῶμα* (Suid. *σῶμα* cod.) *τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος, ὅπερ νῦν ἀκουστέον· περὶ γὰρ αἰδοίου λέγει.* Cf. schol. Vesp. 1111. Hes. s. v. *Κύπαρος. Κύτταροι.* Phot. s. *Κύτταρος. Κύτταροι.* Poll. I 254. VII 147. Om. Bernh. Schmidt, Did. p. 45. Ceterum utrumque uerum esse docet Theophr. H. Pl. IV 8, 7.

82. *Er*. Athen. XI 499 e. De Lagena — *Ἐρατοσθένης δέ φησι λέγεσθαι* (*καὶ* addo) *τὴν πέτασον καὶ τὴν στάμνον ὑπό τινων*. *Πέτασον* corruptum uidetur. Nescio an antiquitus iuxta formam *τὸ πέταχνον ὁ ἡ πέταχνος* exstiterit. Bernh. frag. LI.

83. *Eu*. Schol. Av. 1563. *Πρὸς τὸ λαῖμα τῆς καμήλου. Εὐφρόνιος, τὸν λαιμόν. Καὶ γὰρ προείρηκεν* || *Ἧς λαιμοὺς τεμών* ||. *Οἱ δὲ ὅτι τὸ αἷμα. Παραπεποίηκε δὲ παρὰ τὸ(ν) λαιμόν. κ. τ. λ.*

84. Hes. *Λακκό*[*σ*]*πεδα. Τοῦ σκελετοῦ.* (*Εὐφρόνιός*) *φησιν διαχαλασθέντος ὀσχέου* (leg. *διαχαλασθὲν τὸ ὄσχεον*) *καὶ τῶν διδύμων κρεμασθέντων καλεῖσθαι λακ*(*κ*)*ό*[*σ*]*πεδα* (*-ον?*). *Τοὺς δὲ διὰ παντὸς καθειμένον ἔχοντας αὐτὸ λακ*(*κ*)*οσχέας*, [*Εὐφρόνιος*] *ἐπεὶ ὄσχεα* (leg. *ὀσχέα* sive *ὄσχεον*) *λέγεται τὸ ἀγγεῖον, ὅπου οἱ δίδυμοι ἐμβέβληνται. Ἀπὸ μέρους τὸ μόριον. Οὐκ εὖ. Φασὶ γὰρ τοῦ ὀσχέου πάντοθεν καθειμένου λακκοσχέας προσαγορεύεσθαι τοὺς τοιούτους.* Non omnia intellego. Emendare conatus sum ex Polluce II 172 Euphronii doctrinam prodente (sc. ex Didymo) *Τὸ δὲ τῶν ὄρχεων ἢ διδύμων ἀγγεῖον ὄσχεον, οὗ τὸ χαλώμενον λα*(*κ*)*κόπεδον. Τὸν δὲ ἀεὶ χαλαρῷ τούτῳ κεχρημένον λα*(*κ*)*κοσχέαν Ἀθηναῖοι καλοῦσιν.*

Phot. *Λακκοσχέας. Τοὺς καθειμένον ἔχοντας τὸν ὄσχεον, ὅ ἐστι τῶν διδύμων ἀγγεῖον.*

Ibid. *Λακκοσχεῶν. Μαλακῶν.* Ibid. *Λακ*(*κ*)*όπεδον. Τοὺς ὄρχεις. Οὕτως Ἀρισταγόρας* (Mein. h. cr. 220 *Ἀνταγόρας* cod.). Schmidtium (p. 295) falsum esse proponentem pro *λακκό*[*σ*]*πεδα λακκόσπεα* a *πέος, σπέος* docent Poll. Phot. l. c. Est uocabulum quale *ὀρχίπεδον*.

85. *L*. Athen. XI 485 d. *Ἀμερίας δέ φησι τὴν οἰνοχόην λεπαστὴν καλεῖσθαι. Ἀριστοφάνης δὲ καὶ Ἀπολλόδωρος γένος εἶναι κύλικος. Φερεκράτης Κραπατάλοις* || *Τῶν θεατῶν δ᾽ ὅστις* (*ἂν*) *διψῇ, λεπαστὴν λαψάμενος μεστὴν ἐκχαρυβδίσαι* Bergk comment. p. 301. Mein. frag. com. II 294. || — *Λυ-*

κόφρων δ' ἐν τῷ ἐνάτῳ περὶ κωμῳδίας παραθέμενος τὸ Φερεκράτους καὶ αὐτὸς εἶναί φησι γένος κύλικος τὴν λεπαστήν. Ex Athenaeo Eust. 1246, 30 pendere uidetur. Phot. Λεπασταί. Κύλικές τινες οὕτως ἐκαλοῦντο. Κρατῖνος.

Hes. Λεπαστή. Κύλιξ. Ibid. Λεπαστίς (-ής Nauck.) Οἰνοχόη. Καὶ εἶδος κύλικος. Cf. schol. Pac. 916. Suid. Poll. X 75. Nauck, Arist. Byz. 220. Heyne, Apollod. IV 1167. Schmidt, Did. 54.

86. *Eu. Schol. Av. 1406. (Suid.). Λεωτροφίδῃ (-η cod.). Ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. Ἢ ὅτι καὶ οὗτος διθυραμβοποιὸς κοῦφος. — Τινὲς (δὲ om. V) ὅτι κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ κ. τ. λ. Cf. frag. 141.

87. Eu. Schol. Vesp. 606. Ὅταν οἴκαδ' ἴω. Ὅτι παλαιὰ ἡ διὰ γυναικῶν τημελία, καὶ οὕτως ἐτημέλουν τοὺς πατέρας καὶ γέροντας, ὥστε μετὰ τὸ νίψαι ἀλείφειν τοὺς πόδας. Εὐφρόνιος δὲ καὶ τοὺς παρ' Ὁμήρῳ λιπαροὺς πόδας οὕτως ἀποδιδόναι τινάς φησι. Cf. schol. Plut. 616 (Junt.).

Hes. Λιπαροῖσι πόδεσ(σ)ι — ἢ οὕτω κυρίως ἔφη, ἐπειδὴ ἠλείφοντο τοὺς πόδας οἱ ἀρχαῖοι πρὶν ὑποδήσασθαι. Cf. ibid. s. v. Λιπαροὶ πόδες.

Schol. Ξ 186. Λιπαροῖσιν. Τινὲς ἀληλιμμένοις. Cf. schol. B. 44.

88. *Eu. Schol. Ach. 742. Δωριεῖς δὲ θῆλυ λέγουσι τὴν λιμόν. Et. M. 566, 10. Ἰστέον ὅτι παρὰ μὲν τοῖς Ἀθηναίοις ἀρσενικῶς λέγεται ὁ λιμός. Παρὰ δὲ τοῖς Δωριεῦσι θηλυκῶς ἡ λιμός. Cf. frag. 31.

89. Er. Harpocrat. 53, 4 Bekk. Δεκάζων. — Ἐρατοσθένης δὲ ἐν τοῖς περὶ τῆς ἀρχαίας κωμῳδίας, πόθεν τὸ πρᾶγμα εἴρηται, δηλοῖ οὕτω λέγων· Λύκος ἐστὶν ἥρως πρὸς τοῖς ἐν Ἀθήναις δικαστηρίοις, τοῦ θηρίου μορφὴν ἔχων, πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα γιγνόμενοι συνεστρέφοντο (var. lect. ἀνεστρέφοντο), ὅθεν εἴρηται Λύκου δεκάς.

Phot. *Λύκου δεκάς.* *Ἥρως πρὸς τοῖς Ἀθήνησι δικαστηρίοις τῶν θηρίων μορφὰς ἔχων, πρὸς ὃν οἱ δωροδοκοῦντες κατὰ δέκα συνεστρέφοντο.* Cf. ibid. s. v. *ἡ Λύκου δεκάς.* Hes. *Λύκου δεκάς.* Zenob. V 2. Apostol. VIII 49. X 93. Schol. Vesp. 389. B. An. 236, 3. Bachm. An. I 190, 21. Et. M. 254, 28. Hes. s. *Δεκάζων. Δεκάζειν. Δεκάζεσθαι.* Poll. VIII 121. Tim. p. 46. Suid. De re obscura cf. Meier-Schoem. Att. Pr. 150. Bernh. frag. XVI. Did. p. 57.

90. **L.* **Er.* Schol. Ach. 689 (Suid.) *Μασταρύζει. Συνέλκει καὶ συνάγει τὰ χείλη. Ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι συνάγει τὰ χείλη.*

Phot. *Μασταρύζειν. Τὸ κακῶς μασᾶσθαι. Κυρηναῖοι.*

Eust. 1496, 15. *Αἴλιος δὲ Διονύσιος καὶ μασταρύζειν τὸ κακῶς μασᾶσθαι καὶ βλακικῶς.*

Cf. p. 19.

Haec si iure Eratostheni tribuuntur, uide ne apud Hes. *Μασταρίζειν. Μαστιχᾶσθαι. Καὶ τρέμειν. Ἢ σφοδρῶς ἢ κακῶς μασᾶσθαι* interpretatio *τρέμειν* Lycophroni debeatur ex Aristophanis uerbis (Ach. 689) *ὑπὸ γήρως* collecta. Cf. Phot. *Μασταρύζει. Τρέμει. Ἀγωνιᾷ.*

91. Er. Harpocr. 125, 7. B. *Ἐρατοσθένης δ' ἐν τοῖς περὶ κωμῳδίας φησὶν οὕτως· νόμου ὄντος μὴ μεῖον εἰσάγειν ὡρισμένου τινός, ἐπισκώπτοντες μετὰ παιδιᾶς πάντα τὸν εἰσάγοντα μεῖον ἔφασαν εἰσάγειν, ὅθεν τὸ μὲν ἱερεῖον μεῖον προσηγορεύθη, μειαγωγὸς δὲ ὁ εἰσάγων.*

Phot. *Μεῖον. Τὸ ὑπὲρ τῶν ἐγγραφομένων παίδων εἰς τοὺς φράτορας θυόμενον ἱερεῖον, οὐ μεῖον* (Nbr. *μεῖζον* cod.) *ἀποδεδειγμένου τινὸς σταθμοῦ· ᾧ ἐπεφθέγγοντο οἱ φράτορες εἰ καὶ μεῖζον εἴη, ὅτι μεῖον. Καὶ μειαγωγὸς ὁ τοῦτο παρέχων.*

Cf. B. A. 279, 8. Hes. s. *Μειαγωγός.* Et. M. 533, 37. Poll. III 53. Pertinet ad schol. Ran. 798, (Suid.), ubi uariorum sententiae permixtae proferuntur. Bernh. frag. XXIX.

92. Er. Athen. II 41 d. — *Ἀθηναῖοι δὲ μετάκερας καλοῦσι τὸ χλιαρόν, ὡς Ἐρατοσθένης φησίν* [*ὑδαρῆ φησὶ καὶ μετάκερας*]. Ibid. III 123 d. *Τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδροκλεῖ, Ἄλεξις δ' ἐν Λοκροῖς — καὶ Φιλήμων ἐν Κορινθίᾳ, Ἄμφις δ' ἐν Βαλανείῳ.* Non credo Schmidtio (Did. p. 57) omnia haec testimonia ex Eratosthene fluxisse; est locus ad Philyllium cf. Phot. *Μετάκερας. Τὸ εὔκρατον ἢ τὸ χλιαρόν* (*ψυχρόν* cod.). *Φιλύλλιος.* Hes. *Μετάκερας. Τὸ εὔκρατον ὕδωρ ἢ χλιαρόν.* Bernh. frag. LII. Frag. com. II 866.

93. Er. Harpocr. 126, 22. *Μεταλλεῖς. Λυσίας ἐν τῷ πρὸς Διοχάρη, εἰ γνήσιος. Οἱ μέταλλα ἐργαζόμενοι μεταλλεῖς ὀνομάζονται. Ἔστι δὲ καὶ δρᾶμα Φερεκράτους Μεταλλεῖς, ὅπερ Νικόμαχόν φησι πεποιηκέναι Ἐρατοσθένης ἐν ἑβδόμῳ περὶ τῆς ἀρχαίας κωμῳδίας.* Cf. frag. 46.

94. Eu. Schol. Av. 997 (Suid.) *Μέτων ἄριστος ἀστρονόμος καὶ γεωμέτρης. Τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. Φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ ἀνάθημά τι εἶναι αὐτοῦ ἀστρολογικόν. Εὐφρόνιος δὲ ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. Τοῦτο μὲν οὖν* (V *δὲ* rel.) *ψεῦδος. Φιλόχορος γὰρ Λευκονοέα φησὶ αὐτόν. Τὸ δὲ τοῦ Καλλιστράτου ἄδηλον* (Wilamov. *δῆλον* cod.). *Ἴσως γὰρ ἦν τι καὶ ἐν Κολωνῷ· ὁ δὲ Φιλόχορος ἐν Κολωνῷ μὲν αὐτὸν οὐδὲν θεῖναι λέγει, ἐπὶ Ἀψεύδους δὲ* (*τοῦ* add. Dind.) *πρὸ Πυθοδώρου ἡλιοτρόπιον ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ πρὸς τῷ τείχει τῷ ἐν τῇ Πνυκί. Μήποτε οὖν τὸ χωρίον, φασί τινες, ἐκεῖνο πᾶν ᾧ περιλαμβάνεται* (Dobr. *ἐπάνω παραλαμβ.* libr.) *καὶ ἡ Πνὺξ Κολωνός ἐστιν ὁ ἕτερος, ὁ μίσθιος* (Meurs., *μισθὸς* cod.) *λεγόμενος, οὗ* (Sauppe, *οὕτως* cod.) *μέρος τι νῦν σύνηθες γέγονε* [*τὸ* del. Sauppe] *Κολωνὸν καλεῖν τὸ ὄπισθεν τῆς μακρᾶς στοᾶς.* | *Ἀλλ' οὐκ ἔστι· Μελίτη γὰρ ἅπαν ἐκεῖνο, ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. Ἴσως δὲ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶ γοῦν* (Wilam. *φησὶν ὁ* cod.) *Φρύνιχος Μονοτρόπῳ* || *Τίς δ' ἔστιν ὁ μετὰ ταῦθ'* (*ταῦτα* Suid. *ταῦτα ταύ-*

της cod.) ὁ φροντίζων; Μέτων ὁ Λευκονοεύς· οἶδ' ὁ τὰς κρήνας ἄγων. || Καθεῖται δὲ καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ Χαβρίου (Bentl. χωρίου cod.) (ὡς add. Dobr.) εἴρηται. Cf. Wilamov. Kydathen 167 seq. Wachsmuth stdt. Athen. I 348. Frag. com. II 589.

95. **Er*. Schol. Vesp. 1142. *Μορύχου σάγματι.* — *Τῶν περὶ τρυφὴν ἐσπουδακότων ὁ Μόρυχος.*

Schol. Ach. 887 (Suid. s. *Μόρυχος*). *Μορύχῳ. Ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο. Ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. Τραγῳδίας δὲ ποιητὴς οὗτος.* Cf. frag. 24.

96. **Er*. Hes. *Μυρρίνην. Οἱ μὲν μυρρίνην* (leg. *μυρσίνην*) *καλοῦσι.* Herod. II 552.

B. An. 578, 6. *Πόρρω·* — *οὐκ ἀγνοῶ δὲ ὡς ἔνιοι παρὰ πρόθεσιν τὴν πρός φασι γεγενῆσθαι, ὥστε ἐν ὑπερβατῷ τοῦ ρ̄ γεγενῆσθαι πόρσω καὶ μεταθέσει τοῦ σ̄ εἰς τὸ ρ̄ πόρρω. Οὐκ ἀήθως δὲ καὶ τὸ σ̄ εἰς τὸ ρ̄ μεταπίπτει, ὡς ἡ μυρσίνη μυρρίνη, θαρσεῖν θαρρεῖν.* Cf. Orion s. *πόρρω*. Et. M. 683, 42. Et. Gud. 301, 23. Herod. II 383, 27. 530, 33. 572, 26. Cf. frag. 75.

97. *Er*. Schol. Nub. 552. — *Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν* (cf. schol. 549, 23), *σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. Λανθάνει δ' αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται* (leg. *λέγει*), *οὐδὲν ἄτοπον. Αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. Πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις λέγεται* (581) || *Εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην;* || Om. V. R.

Ad eundem refero schol. Nub. 591. *Ταῦτα δὲ ἀπὸ τῶν προτέρων Νεφελῶν. Τότε γὰρ ἔζη ὁ Κλέων. Ἐπὶ δὲ τούτων τέθνηκε. Καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. Καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος*

φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃς ἐδιδάχθη καθ᾽ Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. Ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. Δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα, καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον, ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν, πολλῷ. Om. V. R. Uidetur igitur etiam hyp. VI Eratostheni deberi. Cf. schol. Ran. 569. Schol. Vesp. 1013. 1038.

Simili modo Callimachi dubitationem schol. Nub. 624 ab eo refutatam esse credendum est.

*98. *L.* Schol. Eq. 100 (Suid.). *Καὶ νοϊδίων. — Τινὲς δὲ ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης. Κακῶς.* Lycophroni tribuo propter temeritatem interpretationis. Posuit enim quod ex antecedentibus coniecit, non quod uocabulum significabat.

99. Eu. Schol. Nub. 1264. *Ὦ σκληρὲ δαῖμον. — Εὐφρόνιος παρὰ Ξενοκλεῖ φησιν εἶναι τὸ χρυσάμπυκες (χρυσάμπυγες* V *χρυσάντυγες* Herm.), *ἐξ οὗ παραπεποιῆσθαι τὸ θραυσάντυγες τοῦτο. Ἐπεὶ (δὲ) ἐμνήσθη τοῦ πατρὸς αὐτοῦ (αὐτοῦ ἀπὸ τοῦ πατρὸς* libr., v. 1261), *καὶ τὰ αὐτοῦ τραγῳδεῖ εἰρηκὼς* || *Ὦ σκληρὲ δαῖμον.* || *Ἔστι δὲ* (*καὶ*) *τὸ* || *Ὦ Παλλάς, ὥς μ᾽ ἀπώλεσας* || *Ξενοκλέους ἐκ τοῦ Λικυμνίου, ὥς φησιν Εὐφρόνιος, λεγόμενον ὑπὸ Ἀλκμήνης, τοῦ Λικυμνίου ὑπὸ Τληπολέμου ἀνῃρημένου· διὸ καὶ ἐπήνεγκεν αὐτὸς* || *Τί δαί σε Τληπόλεμός ποτ᾽ εἴργασται κακόν;* || Nauck, frag. trag. 597. Sic fere auxilio Aldinae in restituendo loco deprauato utendum esse censeo. Quae fides sit Euphronii incertum esse uidetur cf. schol. Reg. — *Ἄλλοι δὲ φασι ὡς Σοφοκλῆς ἐποίησεν τὸν Τληπόλεμον ταῦτα λέγοντα· — ἔοικε δὲ μᾶλλον Σοφοκλέους εἶναι ταῦτα.*

Ex hoc scholio etiam schol. Nub. 1261 Euphronio reddendum est. *Τῶν Καρκίνου. Ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. Οἱ δὲ Καρκίνου παῖδες Ξενοκλῆς καὶ Ξενότιμος, καὶ ὁ μὲν χορευτής, Ξενοκλῆς δὲ τραγῳδίας ποιητής.* Cf. schol.

Pac. 778. Vesp. 1502. Ran. 86. al. Ex quibus multa Euphronii esse apparet.

100. Er. Schol. Plut. 797. *Οὐ γὰρ πρεπῶδες.* *Ἔμφασις τοῦ Ἀριστοφανείου προσώπου. Ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμόν, οἳ διὰ τὸν αὐτῶν βόλον* (Hemst. *τῶν — ὀβόλων* cod.) *ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν. Καὶ ἐν τοῖς Σφηξὶν* (58) *ἐσεμνύνετο, ὅτι οὐκ ἔστι παρ᾽ αὐτῷ* || *Οὔτε κάρυα ἐκ φορμίδος δοῦλοι διαρίπτοντες τοῖς θεωμένοις* (Vesp. 58 *δούλω διαρριπτοῦντε*). || *Φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν χορηγῶν, ἀλλὰ δι᾽ αὐτῶν τῶν διδασκάλων γινόμενον, ὡς Ἐρατοσθένης ἐπισημαίνεται* (*διὰ τῶν χορ. γενέσθαι ἀλλ᾽ οὐ δι᾽*- Dobr.). Cf. Schol. Vesp. 58.

101. Er. Schol. Nub. 967 (Suid.) *Παλλάδα. Ἀρχὴ ᾄσματος Φρυνίχου. Ὡς* (*δὲ* add. Bergk.) *Ἐρατοσθένης φησί,* (*ἄσμ. φησὶν ὡς Ἐρ. Φρυν.* V) *Φρύνιχος* [*δὲ*] *αὐτοῦ* (leg. *αὐτὸς*) *τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος·* (*ἔχει δὲ οὕτως* addo) || *Παλλάδα περσέπολιν* (*περσέπτολιν* R.V.)..... *κλῄζω πολεμαδόκον* (*πολεμοδ.* V) *ἁγνάν,* | *παῖδα Διὸς μεγάλου* (*δαμάσιππον* om. V. R.) ||.

Ἄλλως (om. V. R.) *Οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ* (leg. *αὐτὸς*) *τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. Ἔχει δὲ οὕτως* || *Παλλάδα περσέπολιν* (*περσέπτολιν* cod.) *δεινὰν* (*-ην* cod.) *θεὸν ἐγρεκύδοιμον* | *ποτικλῄζω πολεμαδόκον ἁγνάν,* | *παῖδα Διὸς μεγάλου δαμάσιππον* ||, *καὶ* (*τὰ* add. Bernh.) *κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν.* (*δεινὰν — ποτι* del. Dind.). Sunt duo uersiones eiusdem scholii; ideo errare uidetur Bergk. Poet. Lyr. III[4] p. 555, procemium carminis in priore scholio seruatum Phrynicho, alterum Lamprocli tribuens. Est utrumque Lamproclis. Cf. schol. Aristid. tom. III 537. Cramer, Anecd. Ox. III 353. Bernh. frag. XIV.

102. Eu. Schol. Plut. 385. — *Ἄλλως. Πάμφιλον μὲν Καλλίστρατος καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητήν φασι καὶ*

διδάξαι Ἡρακλείδας. Τὰ δὲ λίαν ἐπιτετηδευμένα ὑπομνήματα διστάζει, πότερον τραγικὸς ποιητὴς (ἦν) ἢ ζωγράφος, ὃν καθηγήσασθαί φασιν Ἀπελλοῦ. Ἐν μέντοι ταῖς διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται (φαίνεται V) *τραγικός. Γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγάτηρ Ἀθηναίους ἱκετεύοντες, Εὐρυσθέα δεδιότες, ἥτις Παμφίλου οὐκ ἔστιν, ὥς φασιν, ἀλλ' Ἀπολλοδώρου. Ὁ δὲ Πάμφιλος ὡς ἔοικε καὶ νεώτερος ἦν Ἀριστοφάνους.* Cf. Suid. s. v. *Διοίσει.* Fuhr Mus. Rhen. V 422 seq. Uerum Welckerum uidisse puto Gr. Trag. p. 710. Cf. Brunn, Künstlergesch. II 132.

103. Eu. Schol. Pac. 565. *Μᾶζα καὶ πανδαισία. — Φασὶ* (*γὰρ* om. V. R.) (*πανδαισίαν*), *ὅταν* (R. *πᾶν* rel.) *δεῖπνον* [*ἐν ᾧ* om. R.] *ἕκαστος αὐτῷ κομίζων εἰς κοινὸν κατατίθηται* (*θήσῃ* R. *κατατίθεται* rel.) *καὶ πάντες πάντων μετέχωσι* (R. V. *μετέχουσι* rel.). Schol. Vesp. 1005. *Ἐπὶ δεῖπνον, εἰς ξυμπόσιον. Ἕν ἐστιν ἐπὶ δεῖπνον εἰς συμπόσιον. Οὕτω γὰρ ἐκάλουν, ὥστε μόνον εἶναι τὸν οἶνον κοινόν, τὰ δὲ λοιπὰ ἑαυτοῦ* (leg. *ἑαυτῷ*) (*ἕκαστον*) *κομίζειν οὕτω κληθέντα* (*τοὺς κληθέντας?*). *Πανθοινίαν δὲ ἔλεγον, ὥς φησιν Εὐφρόνιος, ὁπότε εἰς κοινὸν κατα*[*τι*]*θέντες τὰ κομισθέντα* (*κωλυθέντα* V) *δεῖπνα πάντες ἀπέλαυον* (*ἀπέκλαον* V). Fortasse Didymus Euphronii falsam doctrinam comprobauit cf. Harpocr. 143, 24 *Πανδαισία· — ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. Ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.* Euphronii explicatio in lexicis non seruata est. Paulo diuersa traduntur schol. Ach. 1086. Cf. Becker Charicl. I 411 seq.

104. Eu. Schol. Av. 765. *Φυσάτω πάππους. Εὐφρόνιός φησι πάππον ὄρνεόν τι εἶναι. Πρὸς τὸ ὄνομα οὖν παίζει, ὅτι εἰ ἀναβάς τις πρὸς ἡμᾶς γενήσεται πάππος* (*πάππους* V. R.), *ἕξει ἀποδεικνύναι φράτορας, ὅ ἐστι συγγενεῖς. Οἱ γὰρ εὐθυνόμενοι ὡς ξένοι ὀφείλουσι τοὺς ἰδίους πάππους ἀποδεικνύναι*

ἐκ (τὲ add. R.) φρατρίας ἄνωθεν ὄντας. Καλλίμαχος οὐκ ἀναγράφει (Bentl. ἀναγράφω cod.) τὸν πάππον. Recte emendasse credo Bentleium ἀναγράφει cf. schol. Av. 303, 304, 884, 1181. Schmidt, Did. 294. Hes. Πάππος· — σημαίνει δὲ καὶ ὀρνέου εἶδος.

Aelianus N. A. III 30 hinc πάππον auem sumpsisse uidetur.

105. Eu. Phot. (Suid.) Παραιξορουσον (πάρεξ ὄρουσον Mein. frag. com. II 1157, παρεξόρουσον Bernh. ad Suid.). Ἀριστοφάνης Ταγηνισταῖς. Ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι. Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι. Cf. Apostol. XIII 87 (ubi ἀφρόνιος exstat).

*106. L. *Er.* Schol. Vesp. 91. Οὐδὲ πασπάλην. Ἀντὶ τοῦ οὐδὲ βραχύ. Πρὸς Λυκόφρονα δέ, ὅτι ἀδιορίστως ἀπέδωκεν ἐλάχιστόν τι. Τινὲς δέ φασιν, ὅτι μαγνίτην? κέγχρον πασπάλην φασί.

Phot. Πασπάλη. Τὸ τυχόν. Οἱ δὲ κέγχρον. Οἱ δὲ τὰ κέγχρινα ἄλευρα. Ἱππῶναξ· πασπαληφάγον γρόμφιν.

Hes. Πασπάλη· Τὸ τυχόν. Οἱ δὲ κέγχρον. Ἢ ἄλευρα κρίθινα.

Ibid. Πάλη[ν]. Ἄλευρα. Καὶ σποδός. Τὸ λεπτότατον τοῦ ἀλεύρου. Cf. Et. M. 661, 11. 650, 4. Eust. 898, 8. Πάλη δὲ κυρίως κατὰ Αἴλιον Διονύσιον λεπτότατον ἄλευρον καὶ τέφρα. Φερεκράτης Ἴπνῳ || Ἀνέπλησα τὠφθαλμὼ πάλης φυσῶν τὸ πῦρ frag. com. II 279 ||.

Eundem Lycophronem redolet schol. Nub. 262 Παιπάλη γενήσομαι. Ἤγουν ἀφανισθήσομαι καὶ εἰς οὐδὲν ἔλθω. Θ. Cf. Piers. ad Moer. 330. Curtius, Grundz.[3] 271. Schmidt, Did. 53[12]).

---

[12]) Quae disputata sunt de Pisistratidis schol. Vesp. 502 cf. Lys. 619. Eq. 449. Bernh. frag. XVII ad Eratosthenis chronographica referenda esse uidentur cf. Müller post Herod. Didot. p. 200.

107. Eu. Athen. XI 495 a. c. *Πελίκαι. Καλλίστρατος ἐν ὑπομνήμασι Θρᾳττῶν Κρατίνου ἀποδίδωσι κύλικα. Κράτης δ' ἐν δευτέρῳ Ἀττικῆς διαλέκτου γράφει οὕτως. Οἱ χόες πελίκαι, καθάπερ εἴπομεν, ὠνομάζοντο. Ὁ δὲ τύπος ἦν τοῦ ἀγγείου πρότερον μὲν τοῖς παναθηναϊκοῖς ἐοικώς, ἡνίκα ἐκαλεῖτο πελίκη, ὕστερον δὲ ἔσχεν οἰνοχόης σχῆμα, οἷοί εἰσιν οἱ ἐν τῇ ἑορτῇ παρατιθέμενοι, ὁποίους δήποτε ὄλπας ἐκάλουν, χρώμενοι πρὸς τὴν τοῦ οἴνου ἔγχυσιν. — Σέλευκος δὲ πελίχναν Βοιωτοὺς μὲν τὴν κύλικα, Εὐφρόνιος δ' ἐν ὑπομνήμασι τοὺς χόας.*

Poll. X 73. *Ἔνιοι μέντοι τὸν χοῦν καὶ πελίκην (πελίχνην?) κεκλῆσθαι νομίζουσι καὶ εἶναι τοὔνομα Βοιωτικόν.* Cf. ibid. X 67. Cf. Phot. Hes. s. v. *Πελίκαν.* Curt. Grundz.[3] 457. Frag. com. II 64.

108. Er. Schol. Eurip. Hec. 574. *Φύλλοις ἔβαλλον. — Ἐρατοσθένης γὰρ περὶ τῆς φυλλοβολίας φησίν, ὡς πάλαι χωρὶς ἄθλων ἀγωνιζομένων ἀνθρώπων τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔρριπτον τῶν θεατῶν ὅπως ἕκαστος ηὐπόρει. [Διὸ δὴ σύνηθες ἐγίνετο κύκλῳ περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον* deleo.] *Οἱ μὲν οὖν εὐπορούμενοι (ἐμπορευόμενοι* cod.) *διάφορα δῶρα, τῶν δὲ λοιπῶν οἱ μὲν ἐγγὺς καθήμενοι στεφάνους ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω τούτων (τοῦτο* cod.), *ὅπερ ἦν λοιπόν, ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις. Καὶ νῦν μὲν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις*

Phot. (Suid.) *Περιαγειρόμενοι. Ὥσπερ οἱ νικηφόροι περιαγ(ειρ)όμενοι ἀθληταί. Πολιτείας ε̄ ἐπὶ τέλει. Λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα προὐτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν. Ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν. Τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ περι(ου)σιάζοντες πλέονος ἄξια ἐπετίθεσαν. Οἱ δὲ πορρώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ*

προβάλλουσι ζώνας, [*πέταλα?*], *χιτωνίσκους, πετάσους, κρηπῖδας. Διὸ σύνηθες ἦν κύκλῳ περινοστοῦντας ἀγείρειν τὰ διδόμενα* (del. Bernh. Dind.). *Ἕως μὲν οὖν ἓν ἀγώνισμα κατὰ*

δὲ χιτῶνας. Ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα. Ὅθεν Σιμωνίδης κ. τ. λ.

τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δώρων δόσις. Πολυπλασιαζομένων δὲ τούτων ταῦτα ἐμειοῦτο, εἰς πολλοὺς (Bernh. *πολλὰ* cod.) *καταμεριζόμενα, καὶ τέλος ἡ φυλλοβολία κατελείφθη.* Eust. 1430, 37. *Λέγεται δὲ κατὰ Αἴλιον Διονύσιον Ἁλικαρνασσέα ἀγείρειν καὶ τὸ περιιέναι καὶ περινοστεῖν ἐπὶ νίκῃ ἢ ἑτέρῳ τινί φησι τοιούτῳ· ὅθεν ἴσως καὶ ὁ ἀγύρτης.*

Cf. frag. com. II 51, 745. Hes. s. v. *Ἀγείρειν. Ἀγύρτης. Ἀγερσικύβηλις. Ἀγυρτούς.* Et. M. 14, 31. B. An. 331, 14. Schol. Pind. Pyth. IX 219. Suid. s. *Ἀγύρτης.* Tim. s. *Περιαγειρόμενοι.* Clem. Al. paedag. 213 P. Miller, Misc. 403. Müller post Herod. Didot p. 203. Cobet, Mnem. IX 431. XI 388. Bernh. p. 248.

109. Er. Schol. Ran. 1028. *Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα. Ἐν τοῖς φερομένοις Αἰσχύλου Πέρσαις οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται οὔτε χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ, ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Σούσοις καὶ περίφοβός ἐστιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινός· χορὸς δὲ Περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτήν, εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν καὶ τὴν Ξέρξου φυγήν. Χαῖρις*

δέ φησι τὸ Δαρείου ἀντὶ τοῦ Ξέρξου. Σύνηθες γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. Πρὸς ὃν ἔστιν εἰπεῖν, ὅτι ἐν τῷ δράματι λέγεται || *Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος* v. 297. | *Ἡρόδικος δέ φησι διττοῦ γεγονέναι τοῦ θανάτου* (*? διττὰς γεγο-*

Ἄλλως. Δίδυμος, ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. Διὸ τινὲς διττὰς καθέσεις (Cas. *καταθέσεις* V. *θέσεις* rel.) *τουτέστι διδασκαλίας τῶν Περσῶν φασι καὶ τὴν μίαν μὴ φέρεσθαι. Τινὲς δὲ γράφουσι Δαρείου· τοῦ Ξέρξου* [*οἱ δὲ* del. Fritzsch.], *ὅτι τοῖς κυρίοις ἀντὶ τῶν*

νέναι τὰς καθέσεις Dobr.) καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν Πλαταιαῖς μάχην. Δοκοῦσι δὲ οὗτοι οἱ Πέρσαι ὑπὸ τοῦ Αἰσχύλου δεδιδάχθαι ἐν Συρακούσαις, σπουδάσαντος Ἱέρωνος, ὥς φησιν Ἐρατοσθένης ἐν γ' περὶ κωμῳδιῶν.

πατρωνυμικῶν (πατρωνυμικοῖς ἀντὶ τῶν κυρίων Fritzsch.) κέχρηνται, καὶ ὅτι (ζῇ ἔτι add. Fritzsch.) ὁ Ξέρξης, οἱ δὲ ὅτι εἴδωλον Δαρείου φθέγγεται ἐκεῖ, τεθνηκότος δηλονότι.

Vita Aeschyli (Kirchhoff p. 381) *Φασὶν ὑπὸ Ἱέρωνος ἀξιωθέντα ἀναδιδάξαι τοὺς Πέρσας ἐν Σικελίᾳ καὶ λίαν εὐδοκιμεῖν.*

Qui ultimus de loco conclamato disputauit Holzinger (Ztschft. f. d. österr. Gymnas. XXXI 598) sententiam mihi non probauit; nam Eratosthenem iam hoc loco offendisse uerba demonstrant, quo tota argumentatio quamuis acuta corruere uidetur.

110. **L.* Schol. Av. 14 (Suid.) *Ὁ πινακοπώλης· — ἢ πίναξ εἶδος ὀρνέου.* Cf. p. 5.

111. L. **Er.* Schol. Thesm. 567 (Suid.) (*Ποκάδας.*) *Ὅτι* (*ἐπὶ* add. Suid.) *γυναικείων τριχῶν ὡς τὸ πολύ* (*ὡς τὸ πλοκάδες?* cf. Poll. II 28), *καὶ ὅτι παρετυμολογεῖ τὸν πόκον οὐ κακῶς. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. Ἐμπλοκὴ δέ τις φαίνεται καὶ* (*ὡς* add. Schneid.) *πλοκαμῖδες σπανίως ποτὲ ἐπὶ ἀνδρὸς λέγεται.*

Phot. *Π[λ]οκάδες. Τρίχες.* Cf. Et. M. 323, 55.

Hes. *Ποκάδες. Τρίχες. Ἀπὸ τοῦ πέκεσθαι, ὅθεν καὶ πόκος.*

Eust. 1528, 18. *Σημείωσαι δὲ ὅτι, εἰ καὶ ταὐτόν ποτε πλόκαμος καὶ πλοκαμίς, ἀλλ' οἱ παλαιοὶ καὶ κόσμον γυναικεῖον τὴν πλοκαμῖδα εἶναι δηλοῦσιν.* — Schmidt, Did. 53.

112. **Eu.* Schol. Av. 250. *Ὧν τ' ἐπὶ πόντιον. — Ἔστι δὲ παρὰ τὰ Ἀλκμᾶνος* || *Ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτᾶται* (leg. *ποτῆται*) ||, *διὸ καὶ Δωρικῶς εἴρηται.* Cf. frag. 67. Bergk, P. lyr. III[4] p. 47.

113. **Er.* Plut. Moral. 785 b. *Πῶλον* *δὲ τὸν τραγῳδὸν Ἐρατοσθένης καὶ Φιλόχορος ἱστοροῦσιν ἑβδομήκοντα ἔτη γεγενημένον ὀκτὼ τραγῳδίας ἐν τέτταρσιν ἡμέραις διαγωνίσασθαι μικρὸν ἔμπροσθεν τῆς τελευτῆς.* Cf. Gell. N. A. VI 5. Bernh. frag. IX. Fortasse aptius ad chronographica refertur.

114. *Eu.* Schol. Vesp. 604. *Πρωκτὸς λουτροῦ.* — *Εὐφρόνιος μὲν ὡς τῆς εἰκόνος αὐτοῦ ματαίας οὔσης* (fort. *τῆς εἰκόνος ἐπὶ τοῦ ματαίου οὔσης*), *ὅτι ματαίων ἐπιθυμεῖς. Καὶ γὰρ τὸ μέρος ἐκεῖνο πλυνόμενον* (*περιγίνεται τῆς καθάρσεως καὶ*) *ἔτι μολύνεται* (*καὶ μᾶλλον ἐν τῇ ῥύσει τῆς γαστρός*). *Καλλίστρατος δέ φησι· παροιμία* (*παροιμία φησὶ* V) *πρωκτὸς λουτροῦ περιγίνῃ, ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτοῖς* (V. R.), *ὡς εἴ τις βιάζοιτο μὴ ἀποπλύνεσθαι.*

Cf. Phot. (Suid. Hes. Diogen. III 58. Append. prov. IV 61.) *Πρωκτὸς λουτροῦ περιγίνῃ* (*περιγίνεται* Diog. Append. prov.) *Παροιμία, ὅταν τις μὴ δύνηται* (*κ'ἂν* add. Suid.) *ἀπονίψασθαι, ἀλλ' ἡ κοιλία* (*αὐτῷ* om. Phot.) *ἐπιφέρηται. Ἐπὶ τῶν ἀνωφελῶν* (*ἀνωφελῶς* Diog.) *οὖν καὶ εἰκῇ πραττομένων ἐλέγετο.* Aliena affert Apostol. XIV 78.

115. *L.* **Er.* Hes. *Πύππαξ. Τὸ νῦν βόμβαξ λεγόμενον πύππαξ ἔλεγον, ὡς Λυκόφρων ᾠήθη. Οὐκ ἔστι δέ. Τὸ μὲν γὰρ βόμβαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐπὶ γέλωτος, τὸ δὲ πύππαξ οὐχί.*

Schol. Plat. p. 369. B. *Τὸ νῦν βόμβαξ λεγόμενον πύππαξ ἔλεγον, ὡς καί Λυκόφρων ᾠήθη. Οὐκ ἔστι δέ. Τὸ μὲν γὰρ πύππαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου, τὸ δὲ βόμβαξ οὐκέτι.*

Phot. *Πύππαξ. Ἐπίφθεγμα σχετλιασμοῦ ὡς πένθους ἀμετάφραστον, ὡς τὸ ἰού* (Pors. *τρισ(κ)αιδέκατον* cod.).

Hes. *Φύππαξ. Ὅπερ ἡμεῖς βόμβαξ.* Cf. ibid. s. v. *Βόμβαξ.*

Schol. Thesm. 45 (*Βόμβαξ.*) *Ἐπίρρημα ἐπὶ θαυμασμοῦ λαμβανόμενον.*

Phryn. (B. An. 69, 7) *Ὑπερπυππάζειν. Ὑπερθαυμάζειν,*

ἐκπλήττεσθαι, παρὰ τὸ πύππαξ, ὅ ἐστιν ἐπίρρημα θαυμασμοῦ. Schmidt, Did. 54.

116. *Eu.* Schol. Av. 798 (Suid.). Ὡς Διιτρέφης γε. Εὐφρόνιος τὰ περὶ (τῷ om. V) τραχήλῳ τῆς πυτίνης κρεμάμενα ἱμαντάρια (Suid. αἱμαντάρια cod.) ἑκατέρωθεν πτερὰ καλεῖσθαι, καὶ ὅτι οὗτος πυτίνας ἔπλεκεν. Ἀμάρτυρα δὲ ἀμφότερα. — Ἄλλως. Οὗτος θάλλινα ποιῶν ἀγγεῖα ἐπλούτησε καὶ ἱππάρχησε (ἱππ. καὶ ἐπλ. V) καὶ ἐφυλάρχησεν (οὗτος πολυπράγμων add. V).

Schol. Av. 1442. Ὁ Διιτρέφης. — Εἴρηται δὲ περὶ αὐτοῦ ἀνωτέρω, ὅτι [ὁ Διιτρέφης] πυτινοπλόκος ὢν γέγονε φύλαρχος καὶ ἵππαρχος. Symmacho igitur Euphronius a Didymo castigatus sententiam probasse uidetur.

117. **L.* Schol. Av. 798. Πυτιναῖα μόνον ἔχων. Ὄρνεον μικρὸν ἡ πυτίνη. Lycophronem intellego ex temeritate interpretationis, quippe qui inde, quod dicitur πτερὰ πυτιναῖα, coniecerit avem esse πυτίνην, quod autem dicitur πυτιναῖα μόνον, paruam auem esse.

118. *Eu.* Schol. Vesp. 1530. Ῥῖπτε σκέλος. Εὐφρόνιος οὕτω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγικῆς (τραγῳδικῆς V. an κωμικῆς?) ὀρχήσεως. Βέμβικες (βέμβηκες V) δὲ περιφοραί, περιαγωγαί (τουτέστι σοφαί add. V). Licet uerum sit, at ἀμάρτυρον. Respicit fortasse locos uelut Pac. 332. Vesp. 1492.

119. *Er.* Hes. Ροίκου κριθοπομπία. Ἐρατοσθένης ἐν τῷ ἐννάτῳ, τῶν Ἀμαθουσίων βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα πρὸς ἑαυτόν, τῇ πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν.

Suid. Ρύκου κριθοπομπία. Ἐρατοσθένης ἐν τῷ θ' φησὶ βασιλέα τοῦτον αἰχμάλωτον γενόμενον, εἶτα ὑποστρέψαντα εἰς ἑαυτὸν τῇ πόλει Ἀθηναίων κριθὴν ἐκπέμψαι.

Bernh. frag. XLII. Schmidt, Did. 55.

120. *L.* **Er.* Phot. *Σακίζειν.* *Τὸν τρυγώδη διὰ σάκκου καὶ στρέβλης ἠθεῖν οἶνον. Οὕτως Λυκόφρων.* Lycophro incertum comicum male intellexisse uidetur cf. Hes. *Σακκίζειν. Ἐπὶ τοῦ ἐκκενῶσαι διὰ κλοπὴν τοὺς σάκκους, ὁποῖόν φασι τοῖς ἐργάταις (ὃ ποιεῖν φασι τοὺς ἐργάτας* Vossius); *ἐργάτας* corruptum esse uidetur.

Phryn. (B. A. 68) *Ὑποσακίζεται τὰ χρήματα. Ἀντὶ τοῦ ὑπαναλίσκεται, ὑποκενοῦται· ἀπὸ τῶν τὰ σακία κενούντων ἢ ἀπὸ τῶν τοῖς σακίοις διηθουμένων, οἷον οἴνου ἤ τινος τοιούτου. Ὑποσακίζεται οὖν τὰ χρήματα, οἷον ὑπορρεῖ.*

Hes. *Ὑποσακίζειν. Ὑπηθεῖν τῷ σάκκῳ. Καὶ τὸ προ[σ]κόπτειν.*

Hes. *Ὑπεσάκκισεν. Ὑπήθει τῷ σάκκῳ. Ἔνιοι προ(ὔ)κοπτε.* Cf. Schmidt, Did. 51.

121. *Er.* Phot. *Σάμακα. Ἐρατοσθένης ἀπέδωκε τὸν φορμόν, ἄμεινον δὲ τὸν τοξικὸν κάλαμον. Οὕτως Λύσιππος.* (*Δίδυμος* vel *Λυκόφρων* mauult Schmidt 56.)

Hes. *Σάμαξ. Ὕλη τις δρυώδης, οἷον βούτομον. Οἱ δὲ φορμόν. Καὶ οἱ πλείους (σάκταν* add. Hemst.) *ἀπὸ τοῦ σάττεσθαι. Ἔνιοι δὲ τὴν βούτομον καλεῖσθαι σάμακα. Καὶ τοξικὸς κάλαμος. Ἀφ' οὗ τὰ λεπτὰ συνάγοντες στιβάδια ποιοῦσιν.*

Phot. *Σάκτρα. Φορμός· ἀπὸ τοῦ σάττεσθαι. Οἱ δὲ τὸν τοξικὸν κάλαμον.* Ubi uide Naberum. Hes. *Σάκτας· ὁ θύλακος.* Cf. schol. Plut. 681.

Poll. X 43. *Ἔστι δὲ ὁ σάμαξ ῥὶψ καλάμου τοῦ καλουμένου σάκτου. Μάλιστα δὲ ἐπὶ στρατείας αὐτῷ ἐχρῶντο ὡς Χιωνίδης.* — Frag. com. II 5, 748.

122. *L.* **Er.* Phot. *Σεσέλλισαι* (*σεσάλλισαι* cod.). *Μάτην ἐπῆρσαι. Ἀπ' Αἰσχίνου τοῦ Σέλλου, ὃς ἦν κομπαστὴς καὶ ἀλαζών, ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Λυκόφρων δ' ἀπέδωκε τὸ σελλίζεσθαι ἀντὶ τοῦ ψελλίζεσθαι.*

Hes. Σελλίζεσθαι. Ψελλίζεσθαι· τινὲς δὲ σελλίζει· ἀλαζονεύει.

Ibid. Σε(σ)έλλισαι. Φρύνιχος ἐν Κρόν[ί]ῳ || Ἄγαμαι, Διονῦ, σοῦ στόματος ὡς σε(σ)έλλισαι κεκομμένα πολλάκις frag. com. II 584 ||. Αἰσχίνης τις ὑπῆρχε Σέλλου καλούμενος, ἀλαζὼν καὶ ἐν τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος καθ' ὑπερβολήν, ὡς τοὺς παραπλησίους τούτῳ καλεῖσθαι (σέλλους).

Si uera explicatio iure Eratostheni tribuitur, eiusdem sunt schol. Av. 823. Vesp. 325, 459, 1267. Schmidt, Did. 50.

123. **L*. Schol. Vesp. 352. Οὐδ' εἰ σέρφῳ. Ὅτι ἐν Ὄρνισί τινες τὸ || Εὕδει καταφαγὼν μύρτα καὶ σέρφους v. 82 || ἐξηγοῦνται καρπὸν τὸν σέρφον. Ἔστι δὲ θηρίδιόν τι μικρόν (σμικρόν V.).

Schol. Av. 568. Ὀρχίλος ὄρνις. — Τὸ δὲ σέρφον ἔνορχιν ὡς κριὸν ἔνορχιν. Δῆλον δὲ ἐντεῦθεν, ὅτι οὐχ ὡς οἴονταί τινες, σπέρμα τι (σπερμάτιον R) ὁ σέρφος.

Igitur interpres temere coniecit *σέρφον* esse simile aliquid quod *μύρτα*. Sic Lycophro munere suo fungi solet.

124. **Er*. Quintil. XI 2, 11. (Simonides) cum pugili coronato carmen — mercede pacta scripsisset, abnegatam ei pecuniae partem, quod — in laudes Castoris et Pollucis exierat. — Est autem magna inter auctores dissensio, Glaucone Carystio an Leocrati an Agatharcho an Scopae scriptum sit id carmen et Pharsali fuerit haec domus, ut ipse quodam loco significare Simonides uidetur utque Apollodorus et Eratosthenes et Euphorion et Larissæus Euripylus tradiderunt, an Crannone, ut Apollas (et add. Bentl.) Callimachus, quem secutus Cicero hanc famam latius fudit.

Non credo Bernhardyo frag. XXII hanc doctrinam Eratosthenis ex catalogo Simonidis carminum fluxisse. Fortasse aptius totus locus ad chronographica refertur, quod Eratosthenes cum Apollodoro coniunctus monere uidetur.

125. Er. Schol. Av. 122. *Σισύραν. Σισύρνα καὶ σισύρα καὶ σίσυς διαφέρουσι. Σισύρα μὲν γάρ ἐστι τὸ ἐξ αἰγείων δερμάτων ἔτι τὰς τρίχας ἔχον* (*ἐχόντων?*) *σκέπασμα* (V. *σκέπαστρον* rel.). *Τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον. Σίσυς δέ ἐστι παχὺ ἱμάτιον καὶ εὐτελές, πρὸς δὲ καὶ μικρόν, ἐπιτήδειον εἰς ἓν ἅπτεσθαι οἷον ἐξωμίδιον. — Ὁ δὲ Ἐρατοσθένης, ὥς ἐστι βαίτη* (*βέτη* V). *Καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον* (*ἀνδρόχαιον* V) *καὶ ἀνδράχνην*

Schol. Plat. p. 466 (Bekk.) *Σισύραν. Ἐρατοσθένης σισύραν φησὶ στέγαστρον ἐξ αἰγείων δερμάτων τετριχωμένων, σίσυρναν δὲ τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον, ὃ γούνναν φασίν.*

Eadem Cod. Taurin. post Et. Gud. p. 1030. Schol. Ran. 1459. — *Πρὸς δὲ τὴν διαφοράν. Ἔν τισι* [*οὖν* add. R.] (*σίσυς* add. Schmidt) *καὶ σισύρα καὶ σισύρνα ἐκ τρίτου τὸ αὐτό, πλὴν ὅτι ἡ μὲν σισύρα δοκεῖ βαίτη* (vel *ῥαπτή*, *βαπτὴ* cod.) *εἶναι ἐκ δερμάτων αἰγείων, ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων.*

(*ἀνδρόχην* V) *καλοῦμεν, οὕτως ᾤοντο σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ ἐκδέχεσθαι καὶ τρίτην προσλαμβάνουσι σισύρνην οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων* (*ῥαπτόμενον*) [*τὸ*] *ἀμπεχόνιον,* (*τὸ γούνναν*) *καλούμενον. — Καὶ τὴν σισύραν βαίτην* (*βέτην* V.) *ὑπέλαβον εἶναί* (*τινες* om. V.). *Τὸ δὲ οὐκ ἔστιν ἀληθές, ἀλλὰ χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμίδα ἢ διπλοίδα ἢ τοιοῦτόν* (*τι* om. V.) *Οὕτως ἐν τῷ λεξικῷ.*

Et. Gud. *Σισύρα. Ἡ γοῦνα· αἴγειον στέγαστρον.*

Cf. Hes. s. v. *Σισύρα. Σίσυρνον. Σίσυς. Σισυρνώδη*[*ς*] *στολή*(*ν*). *Βαίτη. Σίσυρος.* Phot. s. *Σισύρα.* Et. M. 714, 24. Schol. Theocr. V 15. Schol. Vesp. 738. Lys. 933. Poll. VII 70. Ammon. Valck. p. 128. Tim. Ruhnk. 121. Bernh. frag. XXV. Schmidt, Did. 62 seq., qui errat. schol. Ran. 1459 *πρὸς τὴν διαφορὰν* contra Lycophronem dictum esse putans; quod ut intellegas cf. schol. Av. 933 *Πρὸς τὴν σπολάδα,* schol. Vesp. 496 al.

126. **L.* *Er.* Schol. Vesp. 1138. *Ἐγὼ δὲ σισύραν.* — *Σισύραν εἶπε οὐ τὸ μαλλωτὸν στρῶμα, ἀλλὰ βαίτην* (*βαιτόν* V.) *Ἔστι δὲ ἡ ἀπὸ δερμάτων συρραπτομένη χλανίς.* Cum Eratosthenis doctrina alienae opposita sit, in promptu est Lycophronem esse suspicari. Cf. schol. Eccl. 840. *Σισυρῶν· τῶν μαλλωτῶν στρωμάτων.* Cf. schol. Eccl. 347 [18]).

127. **Eu.* Herodian. I 394, 24. — *Σκῶρ. Τοῦτο δέ φασι Δωριεῖς ὀξύνειν.* Cf. frag. 31. *Σκῶρ* est glossa apud solos comicos occurrens.

128. **L.* **Er.* Schol. Ran. 146 (Suid.) *Καὶ σκῶρ ἀεὶ νῶν·* (*ὅτι* R.) *τινές* (*δὲ* V) *φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ* (*Ἀταλάντῳ* cod. *Ἀταλάντης* Suid.) *δράματι· ψεῦδος δέ* (*γὰρ* R.), *πολλῷ γὰρ ὕστερον τῶν Βατράχων δεδίδακται* (*δέδεικται* R.) *ἡ Ἀταλάντη* (*ὁ Ἀτάλαντος* cod.) *Στράττιδος.* Frag. com. II 766. Singularem similitudinem hoc scholion prae se fert cum frag. 7.

129. *Eu.* Schol. Av. 933. (Suid.) *Σὺ μέντοι σπολάδα. Πρὸς τὴν σπολάδα, ὅτι διφθέρα ὁποιαοῦν. Σοφοκλῆς Αἴαντι Λοκρῷ* || *Καταστίκτου κυνὸς σπολὰς Λίβυσσα παρδαληφόρον* (l. *παρδαλήφορον*) *δέρος.* || (*Εὐφρόνιος δὲ χιτῶνα δερμάτινον*). *Καλλίστρατος δὲ οἷον ἔφαπτον δερμάτινον·* [*Εὐφρόνιος δὲ χιτῶνα δερμάτινον.*] *παρήχθη δὲ ἴσως ἐκ τοῦ* ..... (*τοῦ*) *ἐπιφέρεσθαι* (an *τοῦ ἐπὶ* ..... *φέρεσθαι*?), *οὐκ ἐξὸν ἐνεζῶσθαι διφθέραν.*

Phot. *Σπολάς. Δερμάτιον ἐφαπτῶδες πρὸς τὰς ἐν πολέμῳ μάχας χρήσιμον.*

Poll. VII 70. *Σπολὰς δὲ θώραξ ἐκ δέρματος κατὰ τοὺς ὤμους ἐφαπτόμενος.* Cf. ibid. I 135. X 142. Hes. s. v. *σπολάς.*

---

[18]) Fragmentum Eratosthenis apud Plin. N. H. XXII § 86 recte in carmine ponere uidentur cf. Hiller p. 100. Maass, phil. unters. VI 106.

130. **Er.* Schol. Plut. 545. — *Τὸ δὲ σ τ ά μ ν ο υ δοκεῖ ἀρσενικῶς εἰρῆσθαι, ὡς δηλοῖ τὸ κατεαγότος.* Cf. frag. 82.

131. **Eu.* Schol. Vesp. 213. *Ὅσον σ τ ί λ η ν. Ὅτι σημαίνει τὸ ἐλάχιστον. Καλλίστρατος δὲ νομισμάτιόν τι ἐλάχιστον.* Phot. *Στίλην. Τὸ ἐλάχιστον. Ἀριστοφάνης Σφηξίν. κ.τ.λ.* Hes. s. v. *Στίλα.* Simili modo Lycophro ab Eratosthene corrigitur frag. 106.

132. *Er.* Diog. Laert. VII 5. *(Ζήνων) ἀνακάμπτων δὴ ἐν τῇ Ποικίλῃ σ τ ο ᾷ τῇ καὶ Πεισιανακτείῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου Ποικίλῃ* — 7. *Καὶ πρότερόν γε Σ τ ω ι κ ο ὶ ἐκαλοῦντο οἱ διατρίβοντες ἐν αὐτῇ ποιηταί, καθά φησιν Ἐρατοσθένης ἐν ὀγδόῃ περὶ τῆς ἀρχαίας κωμῳδίας.* Cf. Wilamov. Antig. Caryst. 111, 18. Ad eundem refero schol. Lysistr. 679. *Ἃς Μίκων ἔγραψε. Ποικίλη στοὰ Ἀθήνησιν οὕτω λεγομένη* (-*ην* R) *διὰ τὴν ἐνοῦσαν γραφήν. Ἔνθα πεποίηκεν ὁ Μίκων τῶν Ἀμαζόνων τὴν μάχην.*

Harpocrat. p. 43, 20 Bekk. — *Ἔστι δὲ καὶ τρίτη τις ἡ πάλαι μὲν Ἀνάκτιος καλουμένη, Ποικίλη δὲ μετονομασθεῖσα.*

Suid. *Ζήνων·* — *ἐπεκλήθη δὲ καὶ αὐτὸς Στωικός, διὰ τὸ ἐν τῇ στοᾷ τῇ ἐν Ἀθήναις διδάξαι αὐτόν, ἥτις πρώην μὲν Πεισιανάκτειος, ὕστερον δὲ ζωγραφηθεῖσα Ποικίλη ἐκλήθη.* Cf. ibid. s. *Στοά, Στωικοί.*

Num Hes. *Στωικοί. Οὐ μόνον οἱ ἀπὸ Ζήνωνος φιλόσοφοι, ἀλλὰ καί τινες γραμματικοὶ* huc pertineat dubitare licet. Bernh. frag. XLI.

133. **Er.* Eust. 1625, 18. — *Αἴλιος δὲ Διονύσιος φησίν, ὅτι τ α ρ ρ ο ὶ καὶ ταρσοὶ τάλαροι καὶ τὰ πλατύσματα τῶν κωπῶν.* Cf. ibid. 843, 38. Hes. s. *Ταρρός.* Phot. *Ταρροί.* Est ad Nub. 226. Cf. frag. 75.

134. *L.* Phot. (Suid.) *Τ ε ν τ ά ζ ε ι ν. Πραγματεύεσθαι ἢ σκευωρεῖσθαι. Ἢ στραγγεύεσθαι* (*στρατεύεσθαι* cod.) *καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. Λυκόφρων οὕτως καὶ Δίδυμος,*

προσθεὶς ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονά φησιν εἶναι τὸ ἐπιστρεφῶς τι πράττειν ἢ ἐνεργεῖν. Καὶ Ἀρτεμίδωρος (*δὲ* add. Schmidt) *τὸ φροντίζειν. Φρύνιχος Μύσταις κ. τ. λ.*

Recte Schmidt (p. 49) prima uerba a Lycophrone aliena esse iudicat, cum Heracleonis interpretatio Lycophroni opposita idem fere ualeat. Num Eratosthenis sit fortasse ab Heracleone exscripti dubitari potest.

Eust. 968, 3. *Τευτάζειν λέγεται κατὰ Αἴλιον Διονύσιον τὸ ἐπὶ πολὺ προσεδρεύειν τῷ αὐτῷ πράγματι.*

Hes. *Τευτάζει. Σκευωρεῖ. Ἡσυχάζει. Διατρίβει. Οἱ δὲ φροντίζει.* Cf. Phot. s. v. *Ταυτάζειν.* Bachm. An. I 386, 5. Poll. IX 137. Schol. Plat. 383 Bekk. Et. M. 755, 38. Zonaras. Apostol. XVI 40 (corruptum). Tim. p. 132. Schmidt, Did. p. 46 seq. Naber, prol. p. 13, 66. Frag. com. II 354, 375, 594, 646.

135. **Er.* Schol. Eq. 440. *Τερθρίους. Οἱ ἔσχατοι κάλοι, οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται, οὓς ὅταν ἐνδιδῷ τὸ πνεῦμα πρώτους ἐκ πρῴρας χαλῶσι.*

Erot. 127, 1 (Kl.) *Καὶ οἱ περὶ ναῦν ἔμπειροι τερθρίους κάλους ὀνομάζουσι τοὺς ἐπὶ τέλει τοῦ ἱστοῦ.*

Hes. *Τέρθρ(ι)οι. Οἱ εἰς τὸ κέρας τοῦ ἱστίου ἑκατέρωθεν δεδεμένοι, ἐν οἷς τὸ ἅρμενον ἕλκουσι.*

Phot. (cf. Et. M. 752, 48. Suid.) *Τερθρεία. Ἡ λεπτολογία. Ἔστιν γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτόν, ὃ καλεῖται τέρθρον· φασὶ δέ τινες τὰ ἄνω τρήματα τοῦ ἐπὶ τῷ ἱστῷ ὀργάνου, ἀφ' οὗ ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία.* Ad idem fragmentum pertinere puto schol. Eq. 436. *Καὶ τοῦ ποδὸς παρίει. — Πόδας δὲ καλοῦσιν οἱ ναῦται τοὺς παρ' ἑκάτερα τὰ μέρη κάλως ἐκδεδεμένους τῆς ὀθόνης.* Cf. frag. 60.

136. Er. Schol. Pind. Ol. IX 1. — *Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος, ἀλλ' ὕμνον εἰς Ἡρακλέα, τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ Καλλίνικε. Περὶ δὲ*

τοῦ Τήνελλα Ἐρατοσθένης φησὶν ὅτι, ὅτε ὁ αὐλητὴς ἢ ὁ κιθαριστὴς μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλε τὸ Καλλίνικε καὶ οὕτω συνειρόμενον γέγονε τὸ Τήνελλα Καλλίνικε. Ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν || *Ὦ Καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες.* || Bergk, P. L. II⁴ p. 418. Non probata mihi est Sybelii restitutio Eratosthenicorum Herm. V 196. Cf. Lehrs, Pindarschol. p. 4 seq.

Ibid. § 3. — *Τριπλόος δὲ* — *τρίστροφος ὢν κατὰ τὸν Ἀρίσταρχον.*

Schol. Av. 1764. *Τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς ἀπὸ τοῦ ἐφυμνίου, οὗ εἶπεν Ἀρχίλοχος εἰς τὸν Ἡρακλέα μετὰ τὸν ἆθλον Αὐγέου* || *Τήνελλα* (*ὦ* add. Dind.) *Καλλίνικε, χαῖρε ἄναξ Ἡράκλεες* (*Ἡράκλεις* cod.), *αὐτός τε καὶ Ἰόλαος* (*κ'ιόλαος* Dind.) *αἰχμητὰ δύο.* || Cf. schol. Ach. 1230. Phot. *Τήνελλα. Τοῦ ἐπαυλήματος μίμησις καὶ τοῦ κρούματος.*

Hes. *Τήνεβλος. Ἐφύμνιόν* (*τι τήνελλα* addo), *ἀφ' οὗ ὁ νικῶν τήνεβλος.*

Schol. Eq. 276 Suid. *Τήνελλος εἶ. Τήνελλος ἁρμονία λύρας.* — *Ἄλλως. Νικηφόρος* (*ὁ*) *τήνελλος* [*δὲ*]. (*Τήνελλα γὰρ*) *κρουμάτιον* (*καὶ* V) *ἐπινίκιον.*

Hes. *Τήνεβλα. Τὰ ἐφύμνια ᾀδόμενα τοῖς νικῶσι.* Cf. Et. M. 757, 32. Append. Prov. IV 87. Tretz. chil. I 685. Bernh. frag. XXXIV. Schmidt, Did. 66.

137. **Eu.* Schol. Plut. 718. *Τρεῖς Τηνίων.* — *Ὅτι ἡ Τῆνος* (*νῆσος μία τῶν κυκλάδων* add. V) *θηριώδης δοκεῖ* (*εἶναι* om. V). (*Σκόροδα οὖν Τήνια εἶπεν ἀντὶ τοῦ δηκτικά, παρὰ τὰ θηρία* add. V). (*Δηλοῖ* add. R) *καὶ Εὔπολις Πόλεσι* || *Τῆνος αὕτη* (R. *δ'αυτὴ* rel.) *πολλοὺς ἔχουσα σκορπίους* (*ἔχεις τε συκοφάντας* || *καὶ Ἀντίμαχος* || *Τήνου τ' ὀφιοέσσης.* || add. V). *Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη, ὡς σκοροδοφόρου τῆς γῆς οὔσης.* (*Ἐν ταύτῃ γὰρ τῇ νήσῳ σκόροδα μεγάλα καὶ δριμύτατα γίγνονται* add. V), *διὸ καὶ τὸ παρ' Ἀντιμάχῳ* || *Τήνου τ' ὀφιοέσσης* || *οὐ καλῶς ἔχειν δοκεῖ.* Apparet a Callistrato alterius cuiusdam sententiam impugnari, quem Euphronium

esse suspicor. Phot. *Τήνια. Ὅτι οἱ ὄφεις ἐν Τήνῳ πικροὶ γίνονται.*

Hes. *Τηνία. Ἔχιδνα.*

Eidem auctori deberi uidetur schol. Plut. 720. *Καὶ σχῖνον· σχῖνον νῦν φησι τὴν σκίλλαν, δηκτικὰ γὰρ βούλεται πάντα εἶναι.* (V alias).

Hes. *Σχῖνος. Τὸ ψέλ[λ]ιον. Καὶ ἡ σκίλλα. Καὶ εἶδος φυτοῦ.* Cf. Phot. s. *σχῖνον.* Et. M. 740, 47.

138. *Eu. Schol. Vesp. 968. *Καὶ τραχήλια ἐσθίει. Τὰ ἄκρα καὶ τὰ εὐτελῆ κρέα. Ἐν τοῖς ὑπομνήμασι δὲ γέγραπται περὶ* (*παρὰ* V) (*τῶν* om. V.) *τραχηλίων οὕτως· τὰ ἀποβαλλόμενα τῶν ὄψων, ὡς μικρὰ κλέπτοντος αὐτοῦ. Πεπλάνηται δέ.* Sic Euphronii autoschediasmata restringi solent. Schmidt, Did. p. 284.

139. *Eu. Schol. Eq. 511. *Καὶ γενναίως πρὸς τὸν Τυφῶ. Ὁ Τυφὼς Γῆς μέν ἐστιν υἱός, ἰσχυσὲ δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνον δοκεῖν φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς. Καὶ εἰς ἀλόγων ζώων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον.* Cf. Et. M. 772, 49. Hes. s. *Τυφωεύς.* Cf. frag. 146.

140. *Eu. Schol. Av. 281 (Suid.) — *Ἐν ἐνίοις ὑπομνήμασιν, ὅτι προκέφαλός ἐστιν ὁ Φιλοκλῆς ὡς ὁ ἔποψ. Ἀλλ' οὐδαμοῦ κεκωμῴδηται.* — Similiter frag. 116 *ἀμάρτυρα δὲ ἀμφότερα.*

141. Eu. Schol. Av. 1378 (Suid.) *Φιλύρινον. Καλλίστρατος χλωρόν. Ἡ γὰρ φιλύρα χλωρόν, χλωρὸς δὲ καὶ οὗτος. Εὐφρόνιος κοῦφον ὡς ἂν διθυραμβοποιὸν εὐτελῆ καὶ κοῦφα ποιοῦντα* (*ποιοῦσα* V). *Τοιοῦτον γὰρ τὸ ξύλον κοῦφον καὶ ἐλαφρόν. Διαβάλλει δὲ αὐτὸν καὶ* (*ὡς* om. V) *χωλὸν διὰ τοῦ* || *Πόδα σὺ κυλλόν.* || frag. 78.

Hes. *Φιλύρινον. Ἀσθενὲς* (leg. *ἀσθενῆ*). (*Ἐλαφρόν.*) Cf. schol. Theocr. X 46. Schol. Av. 1383 (Symmachi). — *Ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτῶν.*

142. Eu. Schol. Dionys. Thrac. p. 782. *Φοινίκεια δὲ τὰ γράμματα ἐλέγοντο, ὥς φησιν Ἔφορος ὁ Κυμαῖος καὶ Ἡρόδοτος, ἐπεὶ Φοίνικες εὗρον αὐτά. Εὐφρόνιος δὲ ὅτι μίλτῳ τὸ πρότερον ἐγράφετο, ἥ ἐστι χρῶμά τι φοινίκεον.*

Ibid. p. 783. *Ἡ φοινίκεια, ἐπεὶ διὰ μίλτου, ὅπερ ἐστὶ χρῶμα φοινικοῦν, πρότερον ἐγράφετο.* Quod nescio an uulgaris opinio fuerit apud Graecos. Cf. in diris Teiorum (Röhl Nr. 497 37/38). Schol. Plut. 277. Locos congessit Hulleman, Dur. Sam. reliq. p. 87. Ad Euphronium pertinet fortasse etiam schol. Pac. 303.

*143. *Eu.* Schol. Av. 693. *Χάος ἦν καὶ Νύξ. Ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν πρὸς τὰ Ἡσιόδου ἢ πρός τινα ἄλλου τινὸς γενεαλόγου.* Hes. Theog. 116 seq. Cf. frag. 146.

144. Eu. Schol. Av. 266. (Suid.) *Χαραδριὸν μιμούμενος. Εὐφρόνιος ἐκ τοῦ χαραδριὸν μιμούμενος ἀξιοῖ δέχεσθαι ἀποκεκρυμμένος. Ἐπεὶ γὰρ τοὺς ἰκτερινοὺς ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, οἱ πωλοῦντες αὐτόν, φησὶ* (*φασὶ* cod.), *κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαί τις ἰαθῇ παρέργως. [Ἄλλως]* (*ὡς παρ' Ἱππώνακτι* addo cf. Suid.) || *Καὶ μὴν καλύπτει ὡς χαραδριὸν περνάς.* || *Ἀνδρέας δέ φησι τῶν ἰκτερινῶν οὐ τοὺς ἰδόντας, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάττεσθαι τοῦ πάθους.* Cf. schol. Plat. 352. B. Bergk. P. L. II⁴ 480.

Hes. *Χαραδριός. Εἶδος ὀρνέου.* Aelian. *π. ζ.* XVII 13.

145. Er. Erot. 136, 13 (Kl.) *Χεῖαι. Ἐπικλῆς φησι ψυχαί· οὐκ ὀρθῶς. Χεῖαι γάρ εἰσιν ὑποδήματος γυναικείου εἶδος, καθά φησιν Ἐρατοσθένης καὶ Καλλίστρατος ἐν ς συμμίκτων.* Pro corrupto *ψυχαί* Schmidt, Did. p. 56 uult *σύκχοι* uel *συκχάδες*. Dubito autem num quis uocabulum ignotum ignoto explicaturus fuerit. Idem unde in hoc fragmento Erigonae Sophoclis uel Eratosthenis mentionem inuenerit nescio.

Hes. *Χῖαι. Ὑποδήματος ἀνδρείου εἶδο[υ]ς.* Bernh. frag. IV.

146. Eu. Schol. Av. 1745 (Suid.) *Καὶ τὰς χθονίας κλήσατε. Εὐφρόνιος, τὰς φοβεράς· πάντα γὰρ τὰ δεινὰ τῆς Γῆς γενεαλογοῦσιν.* Cf. Hes. Theog. 116 seq. Schol. Hes. Theog. 767.

Hes. *Χθόνια. Ὑπόγεια. Κεκρυμμένα. Βαρέα. Φοβερά. Μεγάλα.*

Suid. s. *Χθονία. — Καὶ παρ᾽ Ἀλκμᾶνι δέ, ὅτε φησὶ χθόνιον τέρας ἐπὶ τῆς Ἔριδος, τινὲς ἀντὶ τοῦ στυγνὸν ἐδέξαντο, ἔνιοι δὲ ἀντὶ τοῦ μέγα.*

Schol. Eurip. Phoen. 810. *Πάντα γὰρ τὰ δεινὰ χθόνια ἔλεγον οἱ ἀρχαῖοι.* Cf. Aristoph. Tagenist. in schol. Ran. 293. Frag. com. II 1153.

147. Eu. Schol. Vesp. 1144. *Χόλιξ. Χόλιξ λέγεται τὸ τοῦ βοὸς ἔντερον* (*ὅ ἐστιν* add. V) *μαλλωτόν, ὅ ἐστιν ὁ ἐκ κρόκης μαλλός. Ἄλλως. Τὰς ἐξοχὰς τῶν κρόκων εἰκάζει χόλικι. Τοῦτο δὲ Ἀρτεμίδωρος* (*Ἀρτεμιδώρου* V) *λέγει τὰς ἐπὶ τῆς κοιλίας λεγομένας χολάδας* (*ἐπὶ ταῖς δυσκολίαις λεγ.* V). *Εὐφρόνιος δὲ* (*οὐ* om. V) *τὰ ἔντερα καθ᾽ αὑτό, ἀλλὰ πᾶν σὺν τῷ λίπει καὶ τοῖς ὑμέσιν.*

Schol. Eq. 1179. *Καὶ χόλικος. Χόλικες τὰ παχέα ἔντερα. Χόλικος δὲ καὶ ἠνύστρου ἐκ παραλλήλου τὸ αὐτό. Ταῦτα δὲ ἐγκατώδη κρέα.*

Hes. *Χόλικες. Αἱ παχύταται κοιλίαι.* Cf. schol. Ran. 576. Bachm. An. II 381, 8.

*148. *L. Eu.* Schol. Pac. 717 (Suid.). *Χόλικας. Τὰ τῶν βοῶν παχέα ἔντερα. Ταῦτα γὰρ οὐχ ἱεροῦντο, ὡς τὸ ἄλλο σῶμα. Τινὲς* (*δὲ* om. R) *χόλικάς φασιν εἶδος ἰχθύος.* Cf. frag. 74.

149. Er. Schol. Ran. 1263. *Καὶ μὴν λογιοῦμαι. — Ἐρατοσθένης δὲ τῶν ψευδαττικῶν τινας γράφειν φησὶ || Τῶν ψήφων* (*τῷ ὃ ψήφῳ* V. *τῷ ψήφῳ* Θ. *τὼ ψήφω* Dind. *τῷ ψήφῳ* Fritzsch. *τὸν ψῆφον?*) *λαβών* ||, *ἵνα καὶ τὰ πεπλασμένα δράματα, ἐν οἷς τὸ παράπαν τοῦτο ἠγνόηται, δοκῇ μὴ σεσολοικίσθαι.* Cf. p. 16.

150. **Eu.* Schol. Plut. 538. — *Ἐντεῦθεν πλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ᾠήθησαν τὰς κώνωπας. Ληροῦσι δέ. Ἀρσενικῶς γὰρ λέγονται. Οἱ δὲ Δωριεῖς ἀρσενικῶς λέγουσι τὸν ψύλλον.* (*Θηλυκῶς δέ τινες τὴν κώνωπα κ.τ.λ.* om. V.) cf. frag. 31.

Schol. Nub. 145. *Ψύλλαν ὁπόσους ἅλλοιτο. Ψύλλαν μὲν Ἀττικῶς, ὃν* (*νῦν* add. V) *ἡμεῖς ψύλλον καλοῦμεν.*

Phot. (Suid.). *Ψύλλα καὶ ψύλλαι. Θηλυκῶς.*

Cf. Hes. s. *ψύλλα.*

151. **L.* Schol. Eq. 715 (Suid.). *Οἷς ψωμίζεται. Οἷς ἀπατᾶται, οἷς χαίρει.*

Phot. *Ψώμισμα. Διάσυρμα.* Interpres finxit sibi significationem uocabuli qualem huic loco aptam esse putaret.

152. *L. Er.* Schol. Pac. 702 (Suid.). *Ὠρακιάσας. Οἷον ὠχριάσας, ἢ ἐκλυθείς* (V, *ἑλκυσθείς* rel.) *ἢ λιποψυχήσας, ἢ ἀθυμήσας. Ὡς φιλοπότην δὲ διαβάλλει πάλιν τὸν Κρατῖνον.* (*Ἄλλως.*) *Μετὰ ἐκλύσεως ἐσκοτωμένος* (*-ον* cod.), *ᾧ ἴσως* (*-ον* V) *ἀκολουθεῖ καὶ τὸ ὠχριᾶν. Τοιοῦτοι δὲ οἱ λιποψυχοῦντες. Τρέπεται γὰρ αὐτῶν ἡ χροιά.* Cf. schol. Ran. 481.

Ἄλλως. Λυκόφρων τὸ ὠρακιᾶν ἀντὶ τοῦ ὠχριᾶν. Ἐρατοσθένης δὲ τὸ ὑπὸ ἐκλύσεως ἐσκοτῶσθαι, ᾧ ἴσως (*ἴσον* V) *ἀκολουθεῖ* (*καὶ*) *τὸ ὠχριᾶν. Ὅτι δὲ φίλοινος ὁ Κρατῖνος, καὶ αὐτὸς ἐν τῇ Πυτίνῃ σαφῶς λέγει.*

Hes. *Ὠρακιᾶν. Τὸ ἐν τοῖς βαλανείοις ἐκλύεσθαι. Ἢ σκοτοῦσθαι. Καὶ ὠχριᾶν.* Cf. ibid. s. *Ὠρακιάσας. Ὠρακιᾶν.* Et. M. 823, 34. Zonar. II 1892. Schmidt, Did. p. 45.

Sedes fragmentorum[14].

Aelian. N. A.	III 30 *Eu.	frag.	104
An. Bachm.	I 42 Er.	„	3
„	I 190, 21 Er.	„	89
„	I 230, 15 Er.	„	75
„	I 268 Er.	„	60
„	I 386, 5 L.	„	134
„	II 381, 8 Eu.	„	147
An. Bekk.	27, 30 *Er.	„	20
„	68, 30 L.	„	120
„	69, 7* L.	„	115
„	208, 25 *Er.	„	18
„	219, 1 *Er.	„	15
„	225, 6 Er.	„	25
„	236, 3 Er.	„	89
„	252, 23 L. Er.	„	43
„	255, 8 Er.	„	75
„	267, 5 Er.	„	60
„	274, 24 Er.	„	80
„	278, 8 *Er.	„	3
„	279, 8 Er.	„	91
„	324, 16 *Er.	„	1
„	331, 14 Er.	„	108
„	354, 25 Er.	„	3
„	419, 15 Er.	„	3
An. Bekk.	434, 5 *Er.	frag.	15
„	446, 31 *Er.	„	18
„	448, 29 *Er.	„	20
„	461, 4 Er.	„	22
„	578, 6 *Er.	„	96
„	725, 20 Er.	p.	14
„	782, 15 Eu.	frag.	142
„	783, 29 Eu.	„	142
„	1314 *Er.	„	47
An. Ox. Cram.	I 193, 28 *Er.	„	52
„	I 221 Er.	„	80
„	I 344, 27 Er.	„	68
„	II 455 Er.	„	80
„	III 353 Er.	„	101
Athen.	I 11 d *L.	„	36
„	II 41 d Er.	„	92
„	II 67 c *Er.	„	52
„	III 78 d *Er.	p.	17
„	III 86 e *Er.	„	17
„	III 104 b L.	frag.	19
„	III 115 a Er.	„	9
„	III 123 d Er.	„	92
„	IV 137 e *Er.	p.	17

[14]) Omissi sunt Ammonius, Moeris, Phryn. ecl., Tim., Suidas ubi cum Photio consentit et ubi schol. Aristoph. exscripsit, Auctores prouerbiorum, Zonaras, Et. Gud.

Vita.

Natus sum Carolus Strecker Caroli f. pridie Non. Sept. a. 1861 Fritzoviae in uico Pomeranorum. Patrem non minus quam matrem Mathildam e gente Lemckiorum adhuc superstites esse ualde laetor. Fidem profiteor evangelicam. Postquam primis litterarum elementis a patre carissimo imbutus sum, a. 1875 receptus sum inter cives gymnasii Bugenhagiani Treptoviensis, quod tum R. Bouterweckii praeceptoris maxime mihi uenerandi auspiciis florebat. Maturitatis testimonio instructus cum Argentoratum me contulissem, ordini iuridicorum adscriptus sum, simul patriae debita stipendia feci. Exacto tempore militiae cum in ordinem philologorum transiissem per duo semestria audiui Martinum, Michaelisium, Nissenum, Schöllium, Schefferum, Studemundium. A. 1881 Berolinum profectus scholis interfui Curtii, Kirchhoffii, Oldenbergii, Roberti, Schereri, de Treitzkii, Vahleni. A. 1882 Gryphiswaldiam transmigraui, ubi me docuerunt Kaibel, Kiessling, Reifferscheid, Schuppe, Susemihl, Vogt, de Wilamovitz-Moellendorf, Zimmer. Kiessling et Wilamovitz me receperunt in seminarium philologicum, cuius sodalis per tria semestria fui, per sex menses senior. Neque non Reifferscheid mihi permisit, ut seminarii theotisci per tria semestria sodalis essem. Exercitationibus me adhibuerunt Schöll, Studemund, Susemihl, Vahlen, Vogt, Zimmer.

Quibus uiris omnibus, inprimis Kaibelio, Kiesslingio, Reifferscheidio, de Wilamovitzio, qui nunquam non summa benevolentia me amplexi sunt, gratias semper habebo quam maximas.

Sententiae controuersae.

1. Schol. Arist. Av. 946 legendum est: *Χιτωνίσκον, τὸ ὑποκοριστικὸν τοῦ χιτῶνος· ἐπὶ ἀρσενικοῦ* (*ἐπὶ ἀρσενικᾷ* V. *ἐπεὶ ἀρσενικῶς* vulg.) *μόνως χιτωνίσκος* (*χιτῶνος·* libr. *χιτὼν* vulg.) *λέγεται, ἐπὶ* (*δὲ*) *θηλυκοῦ χιτώνιον*. cf. Eust. 1166, 51.
2. Schol. Arist. Pac. 956 legendum est *Χέρνιβα. — Οἱ δὲ Ἀττικοὶ παροξύνουσιν ὁμοίως* (*ὡς* vulg.) *ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ* cf. Athen. IX 409a. Schol. Vesp. 702 pro *βάλλειν* uocabulo scribendum est *ἔλαιον*, Schol. Vesp. 1031 pro *ἴσως ὀρθῶς*.
3. Bekk. Anecd. 446, 30 propono: *Ἄρριχοι, κόφινοι οἰσύινοι, οὓς* (*ἀρσενικῶς τοὺς*) *ἀρσίκους οἱ Ἴωνες, θηλυκῶς δὲ οἱ Ἀττικοὶ τὰς ἀρρίχους φασίν*. Et. Gud. 80, 32 *Ἄρριχοι δὲ λέγονται κόφινοι* (*οἰ*)*σύινοι ἀρσενικῶς, Ἴωνες. Οἱ δὲ κ.τ.λ.* (*ἀρσενικῶς. Ἴωνες δὲ* — libr.). Schol. Av. 1309 *ἡ ἄρριχος* pro *ἡ ἀρρίχη*.
4. Contra Freierum (de Ael. Dionysii et Pausaniae formulis *οἱ παλαιοί* e. c. t. Leipziger Stud. V 355) contendo in scholiis Aristophaneis codicum V et R horum atticistarum lexica non exscripta esse; neque semper ubi apud Eustatium *οἱ παλαιοί* laudentur, id indicio habendum esse illorum lexica adhibita esse.
5. Male Roederum apud Isaeum I 25 proponere *Ἀνελεῖν μὲν γάρ, ὦ ἄνδρες, οὐχ οἷός τ' ἦν ἄλλῳ γραμματείῳ ἢ τῷ παρὰ τῇ ἀρχῇ κειμένῳ*.
6. Apud Quintilianum X 1, 47 post uerba „legatio continetur“ lacunam statuendam esse censeo.

7. Apollodori bibliothecam III 14, 6, 3 post uerba *τὸν γόνον εἰς γῆν ἔρριψε* non interpolatam esse sed mutilatam.

8. Haud probabiliter Nauckius ad Hom. J 558 in Antimachi fragmento (ap. Euseb. Praep. Ev. p. 467 b) pro *ἦν* suspicatur *ἔεν*.

9. Recte apud Gualtherum 66, 11 Wackernagel-Rieger edunt
Swie dicke ich also maz, so was (vel was ie) daz ende guot.

10. Apud eundem 47, 7/8 cum Pfeiffero scribendum esse censeo
Diu minne tuot unlobeliche we.
Hohiu minne heizet diu daz machet.

11. Otfridus cum dicit (Liutb. 35) se medium operis novissime edidisse, dicit librum tertium confecto iam reliquo opere a se retractatum esse.

12. In carmine theotisco Wernheri, quod inscribitur Di vier Schivin vers. 60, 20 seq. (ed. Grimm) ex 61, 12 seq. restituendi sunt
So inmohtin di wunden nimmir solich wesin
He insolde ir harde wol ginesin.




Strecker
176548

